καὶ γὰρ ἐκεῖνος ἔχειν με τότ᾽ ᾤετο καὶ πάλιν οὗτος οἴεται· εἰμὶ δ᾽ἐγὼ οὐδενός, ἀλλὰ Τύχης.

5

Ad Philippum.

Cf. Iulian., *Epist.* 39 (Φιλίππῳ), infra p. 45, 23 : Ἐγὼ νὴ τοὺς θεοὺς ἔτι Καῖσαρ ὢν ἐπέστειλά σοι, καὶ νομίζω πλέον ἢ ἅπαξ.

6-7

Ad Libanium.

6

Ex epistula Libanii 369, quae circa a. 358 scripta est (cf. Seeck, BLZG, p. 345), fragmenta quaedam eruere licet litterarum Iuliani ipsius, quibus respondebat sophista Antiochenus.

Liban., *Epist.* 369 (Ἰουλιανῷ), p. 354, 11 ed. Förster: Αὐτὸ γὰρ τοῦθ᾽ ὃ σὺ φῄς, ὡς αἱ τῶν στρατηγῶν ἐπιστολαὶ βραχεῖαι διὰ τὸ πράττειν, ἔπειθέ με καὶ αὐτὸν συστέλλειν τὰ γράμματα, εἰδότα ὡς ὅστις ὑπ᾽ ἀσχολίας οὐκ ἔχει μακρὰ ἐπιστέλλειν, κἂν ὑπ᾽ ἄλλου μακρὰ γράφοντος ἐνοχληθείη. Νῦν οὖν, ἐπειδή με παρακαλεῖς εἰς μῆκος, ὑπακούσομαι. Καί σοι συγχαίρω πρῶτον μὲν ὅτι τὰ ὅπλα ἔχων ἐν χεροῖν οὐκ ἐξέλυσας τὴν περὶ λόγους σπουδήν, ἀλλὰ μάχῃ μὲν ὡς οὐδὲν ἄλλο δρῶν. Ζῇς δὲ ἐν βιβλίοις ὡς ἀφεστηκὼς μάχης.

7

Nicomediam terrae motu (die 24 m. Augusti a. 358) et incendio (« *per quinque dies et noctes* » Ammian. Marc., XVII, 7, 8) vastatam in epistula ad Libanium scripta Iulianus deploraverat, sicut ex sophistae responso patet :

Liban., *Epist.* 35 (Ἰουλιανῷ) : Ἀλλά σοι τὸ μὲν σῶμα, ὡς ἐμήνυες, διὰ τέλους ἔχοι, τῇ λύπῃ δὲ φάρμακον ἔλθοι παρὰ τοῦ θεοῦ, μᾶλλον δὲ τὸ μέν τι τῆς λύπης δεῖται θεοῦ, τὸ δὲ ὑμεῖς ὑμῖν αὐτοῖς παῦσαι κύριοι. Τὸ μὲν γὰρ ἀνορθῶσαι τὴν πόλιν ἕτοιμον, εἰ βουληθείητε, τῆς δ᾽ ἐπὶ τοῖς τεθνεῶσιν ἀθυμίας ἐξ οὐρανοῦ ποθεν ἔλθοι παραμυθία. Μακαρίζω δὲ ἔγωγε τὴν Νικομήδους καὶ κειμένην· ἔδει μὲν γὰρ ἑστάναι, τετίμηται δὲ ὅμως πεσοῦσα δάκρυσι σοῖς.

---

8 [ep. 55].

Eumenium et Pharianum quos ante quattuor annos et

tres menses (v. 11 sq.) in Asia vel Athenis condiscipulos habuerat (v. 24), Iulianus hortatur ut studia acri animo persequantur. Cum Athenas circa mensem Septembrem a. 355 reliquerit, hanc epistulam post mensem Decembrem a. 359 scribere non potuit.

441 Εὐμενίῳ καὶ Φαριανῷ.

Εἴ τις ὑμᾶς πέπεικεν ὅτι τοῦ φιλοσοφεῖν ἐπὶ σχολῆς ἀπραγμόνως ἐστὶν ἥδιον ἢ λυσιτελέστερόν τι τοῖς ἀνθρώ-
b ποις, ἠπατημένος αὐτὸς ἐξαπατᾷ· εἰ δὲ μένει παρ' ὑμῖν ἡ πάλαι προθυμία καὶ μὴ καθάπερ φλὸξ λαμπρὰ ταχέως ἀπέσβη, μακαρίους ἔγωγε ὑμᾶς ὑπολαμβάνω. Τέταρτος ἐνιαυτὸς ἤδη παρελήλυθε καὶ μὴν οὑτοσὶ τρίτος ἐπ' αὐτῷ σχεδόν, ἐξ ὅτου κεχωρίσμεθα ἡμεῖς ἀλλήλων. Ἡδέως δ' ἂν ἐσκεψάμην ἐν τούτῳ πόσον τι προεληλύθατε. Τὰ δὲ ἐμά, εἰ
c καὶ φθεγγοίμην Ἑλληνιστί, θαυμάζειν ἄξιον· οὕτως ἐσμὲν ἐκβεβαρβαρωμένοι διὰ τὰ χωρία. Μὴ καταφρονεῖτε τῶν λογιδίων, μηδὲ ἀμελεῖτε ῥητορικῆς μηδὲ τοῦ ποιήμασιν ὁμιλεῖν· ἔστω δὲ καὶ τῶν μαθημάτων ἐπιμέλεια πλείων, ὁ δὲ πᾶς πόνος τῶν Ἀριστοτέλους καὶ Πλάτωνος δογμάτων ἐπιστήμη. Τοῦτο ἔργον ἔστω, τοῦτο κρηπίς, θεμέλιος, οἰκοδομία, στέγη· τἆλλα δὲ πάρεργα, μετὰ μείζονος σπου-
d δῆς παρ' ὑμῶν ἐπιτελούμενα ἢ παρά τισι τὰ ἀληθῶς ἔργα. Ἐγὼ νὴ τὴν θείαν δίκην ὑμᾶς ὡς ἀδελφοὺς φιλῶν ταῦτα ὑμῖν συμβουλεύω· γεγόνατε γάρ μοι συμφοιτηταὶ καὶ πάνυ

*7—8 ἐπὶ σχολῆς ἀπραγμόνως φιλοσοφεῖν Suidas *s. v.* Ἐπὶ σχολῆς.

E XY = d G

6 εὐμενίω καὶ φαριανῷ EY : om. X : has litteras sine titulo inter Libanii epistulas praebet G || **7** Εἴ τις — **9** ἐξαπατᾷ om. Y || **8** ἰδίων X || **9** αὐτὸς om. E || **11** ἀπεσβέσθη dG || ὑμᾶς ἔγωγε transp. dG || **11** Τέταρτος — **14** προεληλύθατε om. Y || **13** σχεδόν om. X || ἐξότου X ἐξότε E || δ' E : om. cett. || **14** σκεψαίμην? Hertlein || παρεληλύθατε G || τὸ δὲ ἐμὸν (cf. Iulian. 77 D) Hertlein || **14/15** εἰ καὶ E : καὶ εἰ dG || **16** διὰ τὰ χωρία om. Y || **16/17** καταφρονῆτε et ἀμελῆτε d || **18** καὶ om. E || **20** ἐπιστήμη dG : ἐπιστήμης E || ἔστι G || **21** τἆλλα — **22** ἔργα om. Y || **22** παρ' ὑμῖν G || **23** φιλῶ dG || ταῦτα — p. 11, 2 λυπήσομαι om. Y || **24** γεγόνασι X

φίλοι. Εἰ μὲν οὖν πεισθείητε, πλέον στέρξω, ἀπειθοῦντας δὲ ὁρῶν λυπήσομαι· λύπη δὲ συνεχὴς εἰς ὅ ποτε τελευτᾶν εἴωθεν, εἰπεῖν παραιτοῦμαι οἰωνοῦ κρείττονος ἕνεκα.

9-10

Ad Alypium.

9 [ep. 29].

Alypium « fratrem Caesarii », viri Valente regnante clarissimi (Seeck, BLZG, p. 56 sq. et 98), editor antiquus appellavit ut eum ab Alypio rhetore, quem ex Eunapio (*Vit. Soph.*, p. 460) novimus, distingueret. Iam quandam necessitudinem ei fuisse apparet cum Iuliano adulescente (cf. p. 12, 1 sq.), qui postea, Caesar factus, hac epistula Alypium inter primos (p. 12, 2 sq.) ad se vocavit. Idem Alypius apud imperatorem in gratia esse nunquam desiit, ita ut Hierosolymitani templi reficiendi provincia ei daretur (Ammian. Marc., XXIII, 1, 2; Philostorg., p. 95 et 235 ed. Bidez; cf. infra p. 192, 21 sq.).

Ἰουλιανὸς Ἀλυπίῳ ἀδελφῷ Καισαρίου. 402 d

Ὁ Συλοσῶν ἀνῆλθε, φασί, παρὰ τὸν Δαρεῖον καὶ ὑπέμνησεν αὐτὸν τῆς χλανίδος καὶ ᾔτησεν ἀντ᾽ ἐκείνης παρ᾽ αὐτοῦ τὴν Σάμον· εἶτα ἐπὶ τούτῳ Δαρεῖος μὲν ἐμεγαλοφρονεῖτο [τὸ] μεγάλα ἀντὶ μικρῶν νομίζων ἀποδεδωκέναι, Συλοσῶν δὲ λυπρὰν ἐλάμβανε χάριν. Σκόπει δὴ τὰ ἡμέτερα νῦν πρὸς ἐκεῖνα· ἓν μὲν δὴ τὸ πρῶτον οἶμαι κρεῖσσον ἔργον 403 ἡμέτερον· οὐδὲ γὰρ ὑπεμείναμεν ὑπομνησθῆναι παρ᾽ ἄλλου,

---

19 sq. Herodot. III 139 sq. Cf. Iulian. 117 B.

[1 — 3] E XY = d G — [18 sq.] V [U] C

1 οὖν om. G || 2 εἰς ὅ : οἷ G

18 titulum om. C || 19 φασί Hercher : φησὶ codd. || παρὰ V : πρὸς C || 20 χλανίδος C : χλ..... V || 21/22 ἐμεγαλοφρονεῖτο C : ἐμεγ... φρονεῖτο V || 22 τὸ (e dittogr. add. codd.) delevit Ald. || 23 λυπρὰν V[d] : λυπηρὰν C λ..... V || 24 ἓν codd. : ἑνὶ Hertlein || τὸ πρῶτον οἶμαι G : τὸ .ρῶτον ο... V || 25 οὐδὲ V : οὐ C

τοσούτῳ δὲ χρόνῳ τὴν μνήμην τῆς σῆς φιλίας διαφυλάξαντες ἀκέραιον, ἐπειδὴ πρῶτον ἡμῖν ἔδωκεν ὁ θεός, οὐκ ἐν δευτέροις, ἀλλ' ἐν τοῖς πρώτοις σε μετεκάλεσα. Τὰ μὲν οὖν πρῶτα τοιαῦτα· περὶ δὲ τῶν μελλόντων ἆρά μοι δώσεις τι (καὶ γάρ εἰμι μαντικός) προαγορεῦσαι; μακρῷ νομίζω κρείτ-
b τονα ἐκείνων (Ἀδράστεια δὲ εὐμενὴς εἴη)· σύ τε γὰρ οὐδὲν δέῃ συγκαταστρεφομένου πόλιν βασιλέως, ἐγώ τε πολλῶν δέομαι τῶν συνεπανορθούντων μοι τὰ πεπτωκότα κακῶς. Ταῦτά σοι Γαλλικὴ καὶ βάρβαρος Μοῦσα προσπαίζει, σὺ δὲ ὑπὸ τῇ τῶν θεῶν πομπῇ χαίρων ἀφίκοιο.

Καὶ τῇ αὐτοῦ χειρί — ⁑ Λὶς ⁑ ἐρίφων καὶ τῆς ἐν τοῖς χειμαδίοις θήρας τῶν προβαταγρίων, ἧκε πρὸς τὸν φίλον,
c ὅς σε τότε, καίπερ οὔπω γινώσκειν ὅσος εἶ δυνάμενος, ὅμως περιεῖπον.

10 [ep. 30].

Non multo ante a. 362, ut videtur (cf. Ammian. Marc., XXIII, 1, 2; XXIX, 1, 44; Liban., *Epist.* 324), Alypius « *Britannias curavit pro praefectis* », eodem scilicet tempore quo Iulianus Gallias regebat. E Britanniis tabulam geographicam, quae hic significatur, allatam esse verisimile est, et in Gallia, cum Iulianus ex gravi morbo convalesceret (cf. ep. 11), post alteras eidem Alypio missas, scriptas esse has litteras non est dubium.

403 c Ἰουλιανὸς Ἀλυπίῳ ἀδελφῷ Καισαρίου.

Ἤδη μὲν ἐτύγχανον ἀνειμένος τῆς νόσου, τὴν γεωγραφίαν ὅτε ἀπέστειλας· οὐ μὴν ἔλαττον διὰ τοῦτο ἡδέως

[1—14] V [U] C — [24 sq.] BΔ = r X V [U] C

1 τῆς σῆς φιλίας τὴν μνήμην transp. C ‖ 3 σε μετεκάλεσα Martinius : ἐμέ τε καλέσαι CU ἐμέ τε καλ... V ‖ 5 προαγορεῦσαι Ald. : π... αγορεῦσαι V προσαγορεῦσαι C ‖ 5/6 κρεῖττον C ‖ 6 γὰρ C : γ.. V ‖ 9 βάρβαρος C : βάρβ.... V βαρβαρική U ‖ 11 λὶς ἐρίφων inseruit postea in spatium angustius C ‖ λὶς sic V : λῆις Martinius ἆλις Platt ‖ τῆς ἐν om. C ‖ 12 προβαταγρίων U : προβαταγρι.. V προβατίων C

24 ἀλυπίῳ ἀδελφῷ καισαρίου (καισαρείου X) rX : ἰουλιανὸς τῷ αὐτῷ (nam praebet antea ep. 9) V om. C ‖ 26 οὐ μή..... δια... το (διατοῦτο U) V

ἐδεξάμην τὸ παρὰ σοῦ πινάκιον ἀποσταλέν· ἔχει γὰρ καὶ τὰ διαγράμματα τῶν πρόσθεν βέλτιον, καὶ κατεμούσωσας d αὐτὸ προσθεὶς τοὺς ἰάμβους, οὐ μάχην ἀείδοντας τὴν Βουπάλειον κατὰ τὸν Κυρηναῖον ποιητήν, ἀλλ᾽ οἵους ἡ καλὴ Σαπφὼ βούλεται τοῖς ὕμνοις ἁρμόττειν, καὶ τὸ μὲν δῶρον τοιοῦτόν ἐστιν, ὁποῖον ἴσως σοί τε ἔπρεπε δοῦναι ἐμοί τε ἥδιστον δέξασθαι.

Περὶ δὲ τὴν διοίκησιν τῶν πραγμάτων ὅτι δραστηρίως ἅμα καὶ πράως ἅπαντα περαίνειν προθυμῇ, συνηδόμεθα· μῖξαι γὰρ πραότητα καὶ σωφροσύνην ἀνδρείᾳ καὶ ῥώμῃ, καὶ 404 τῇ μὲν χρήσασθαι πρὸς τοὺς ἐπιεικεστάτους, τῇ δὲ ἐπὶ τῶν πονηρῶν ἀπαραιτήτως πρὸς ἐπανόρθωσιν, οὐ μικρᾶς ἐστι φύσεως οὐδὲ ἀρετῆς ἔργον, ὡς ἐμαυτὸν πείθω. Τούτων εὐχόμεθά σε τῶν σκ πῶν ἐχόμενον, ἄμφω πρὸς ἓν τὸ καλὸν αὐτοὺς συναρμόσαι· τοῦτο γὰρ ἁπάσαις προκεῖσθαι ταῖς ἀρεταῖς τέλος οὐκ εἰκῇ τῶν παλαιῶν ἐπίστευον οἱ λογιώτατοι. b Ἐρρωμένος καὶ εὐδαιμονῶν διατελοίης ἐπὶ μήκιστον, ἀδελφὲ ποθεινότατε καὶ φιλικώτατε.

11-13

Ad Priscum.

11 [ep. 44].

Priscus philosophus, cuius vita apud Eunapium exstat (*Vit. Soph.*, p. 481), notus Iuliano fuit, cum regius adoles-

---

4 Callimach. *Fr.* 90 (Schneider II p. 255) | **6** sq. cf. Isocr. *Ad Nic.* 2.

BΔ = r X V [U] C

2 διαγράμματα : ...γρ..... V || τῶν : τοῦ C || βελτίω Hercher || **3** οὐ μάχ...δοντας V || τὴν : τὸν C || **4** βουπάλιον codd., corr. Bentley || κυρηναῖον, η e correctione, B κηρηναῖον X κυρκαῖον C || οἵοις C || **5** βούλεται rXCU : β....ται V || ὕμνοις rXCV[d] : .... V νόμοις U || **7** τε : δὲ X || **9** περαίνειν B : παραινεῖν ΔXVC || **11** χρῆσθαι C || **13** οὐδὲ : ἀλλ᾽ X || **15** αὐτοὺς om. X || προσκεῖσθαι rX || **17** διατελοίης : διαβιώης X || **18** φιλικώτατε καὶ ποθεινότατε transp. X

cens Pergami Aedesium audiret (*ibid.*, p. 474). Posterius eum inter imperatoris familiares, iam Constantinopoli fortasse (cf. infra p. 44, 10 sq.), Antiochiae certe invenimus (cf. infra. p. 374 C ; Sievers, *Libanius*, p. 92 et 96 ; Seeck, BLZG, p. 246). Paulo ante epistulas 12 et 13 Prisco missas esse has litteras verisimile est. De Iuliani morbis cf. p. 12, 25, et *Contra Galilaeos*, 235 C, etc.

425 b Πρίσκῳ.

Ἄρτι μοι παυσαμένῳ χαλεπῆς πάνυ καὶ τραχείας νόσου τῇ τοῦ πάντα ἐφορῶντος Σωτῆρος προνοίᾳ γράμματα εἰς χεῖρας ἦλθεν ὑμέτερα, καθ᾽ ἣν ἡμέραν πρῶτον ἐλουσάμην. Δείλης ἤδη ταῦτα ἀναγνοὺς οὐκ ἂν εἴποις ῥᾳδίως ὅπως
c ἐρρωννύμην, αἰσθανόμενος τῆς σῆς ἀκραιφνοῦς καὶ καθαρᾶς εὐνοίας· ἧς εἴθε γενοίμην ἄξιος, ὡς ἂν μὴ καταισχύναιμι τὴν σὴν φιλίαν. Τὰς μὲν οὖν ὑμετέρας ἐπιστολὰς εὐθέως ἀνέγνων, καίπερ οὐ σφόδρα τοῦτο ποιεῖν δυνάμενος, τὰς δὲ τοῦ θεοειδοῦς Ἀντωνίου πρὸς τὸν Ἀλέξανδρον εἰς τὴν ὑστεραίαν ἐταμιευσάμην. Ἐκεῖθεν ἑβδόμῃ σοι ταῦτα ἔγραφον ἡμέρᾳ, κατὰ λόγον μοι τῆς ῥώσεως προχωρούσης
d διὰ τὴν τοῦ θεοῦ προμήθειαν. Σῴζοιό μοι, ποθεινότατε καὶ φιλικώτατε ἀδελφέ, ὑπὸ τοῦ πάντα ἐφορῶντος θεοῦ· ἴδοιμί σε, ἐμὸν ἀγαθόν.

Καὶ ἰδίᾳ χειρί — Νὴ τὴν σωτηρίαν τὴν ἐμήν, νὴ τὸν πάντα ἐφορῶντα θεόν, ὡς φρονῶ γέγραφα. Ἀγαθώτατε, πότε σε ἴδω καὶ περιλάβωμαι; νῦν γάρ σου καὶ τοὔνομα καθάπερ οἱ δυσέρωτες φιλῶ.

BΔ = r C L

8 πρίσκῳ rL : λιβανίῳ C || **9** τῆς ante χαλεπῆς add. C || τραχείας L : ταχείας rC || **10** Σωτῆρος om. C : Solem significat Iulianus || **13** σῆς om. L || **14** ἂν om. r || **15** οὖν om. L || **17** θεοειδοῦς om. C || ἀντωνίνου L || πρὸς τὸν Ἀλέξανδρον om. L || **18** ὑστερέαν L || **19** ἐρρώσεως L || **21** ὑπὸ τοῦ — **26** φιλῶ om. C || **21** τοῦ τὰ πάντα r : cf. supra v. 10 ; infra v. 24 ; Homer. Γ 277, etc. || **23** καὶ ante τὴν ἐμὴν add. r, unde νὴ τὴν < σὴν > σωτηρίαν καὶ Petau || **23/24** νὴ τὸν πάντα ἐφορῶντα θεὸν om. Δ

12 [ep. 4*].

Haec quoque epistula in Gallia scripta est, postquam in hibernis Iulianus studiis vacaverat (p. 16, 4; cf. p. 15, 7).

Πρίσκῳ.

Περὶ τοῦ τὴν σὴν ἀγαθότητα πρός με ἥκειν, εἴπερ διανοῇ, νῦν σὺν τοῖς θεοῖς βούλευσαι καὶ προθυμήθητι· τυχὸν γὰρ ὀλίγον ὕστερον οὐδὲ ἐγὼ σχολὴν ἄγω. Τὰ Ἰαμβλίχου πάντα μοι τὰ εἰς τὸν ὁμώνυμον ζήτει· δύνασαι δὲ μόνος· ἔχει γὰρ ὁ τῆς σῆς ἀδελφῆς γαμβρὸς εὐδιόρθωτα. Εἰ δὲ μὴ σφάλλομαι, καὶ σημεῖόν τί μοι, ἡνίκα τοῦτο τὸ μέρος ἔγραφον, ἐγένετο θαυμάσιον.

Ἱκετεύω σε, μὴ διαθρυλλείτωσαν οἱ Θεοδώρειοι καὶ τὰς σὰς ἀκοὰς ὅτι ἄρα φιλότιμος ὁ θεῖος ἀληθῶς καὶ μετὰ Πυθαγόραν καὶ Πλάτωνα τρίτος Ἰάμβλιχος· εἰ δὲ τολμηρὸν πρός σε τὴν αὑτοῦ διάνοιαν φανερὰν ποιεῖν, ὡς ἕπεται τοῖς ἐνθουσιῶσιν, οὐ παράλογος ἡ συγγνώμη· καὶ αὐτὸς δὲ περὶ μὲν Ἰάμβλιχον ἐν φιλοσοφίᾳ, περὶ δὲ τὸν ὁμώνυμον ἐν θεοσοφίᾳ μέμηνα, καὶ νομίζω τοὺς ἄλλους, κατὰ τὸν Ἀπολλόδωρον, μηθὲν εἶναι πρὸς τούτους.

Ὑπὲρ δὲ τῶν Ἀριστοτέλους συναγωγῶν ἃς ἐποιήσω, τοσοῦτόν σοι λέγω· πεποίηκάς με ψευδεπίγραφον εἶναί σου μαθητήν. Ὁ μὲν γὰρ Τύριος Μάξιμος εἰς βιβλία [μὲν]

---

7 sq. de his Iamblichi scriptis, cf. Bidez, *Bulletins de l'Acad. royale de Belgique, Classe des lettres*, 1904, p. 499 sq. | **18** sq. cf. Plat. *Conviv.* 173 D sq.

XY [Y **13** φιλότιμος — **19** τούτους]

7 an ἄξω? | **12** δριαλλυλλείτωσαν (sic) cod., corr. Papadopoulos | θεοδώριοι cod., corr. Papadopoulos; de Theodoro Iamblichi aemulo cf. Proclum *In Tim.* ed. Diehl III 379 s. v. Theodorus || **13** φιλότιμος ἄρ' ὁ transp. Y || **17/18** θεοσεβείᾳ Y || **18** μέμηνα scripsimus: μενοινᾶ codd., cf. Eunap. *Vit. Soph.* 474, 47 et 485, 36 | **22** μὲν (prius om. dein prima manu add. ut vid. in cod.) seclusimus

πλείονα τῆς λογικῆς ὀλίγα ⸓ δυεῖν εἶπε ⸓, σὺ δέ με δι᾽ ἑνὸς βιβλίου τῆς Ἀριστοτελικῆς φιλοσοφίας ἐποίησας ἴσως δὴ καὶ βάκχον. ἀλλ᾽ οὔ τι ναρθηκοφόρον. Εἰ δὲ ἀληθῆ λέγω, παραγενομένῳ σοι πολλὰ πάνυ τοῦ πέρυσι χειμῶνος ἐξελέγξει πάρεργα.

13 [ep. 71].

Hanc epistulam, qua evectio (v. 14) Prisco mittitur, cum Iulianus Caesar in Gallia degeret scriptam esse e vv. 15-17 patet. Prisci iter in Galliam significare videtur Liban., *Orat.* XII, 55

Ἰουλιανὸς Πρίσκῳ.

Ἐγὼ δεξάμενός σου τὰ γράμματα παραχρῆμα τὸν Ἀρχέλαον ἀπέστειλα, δοὺς αὐτῷ φέρειν ἐπιστολὰς πρός σε καὶ τὸ σύνθημα, καθάπερ ἐκέλευσας, <εἰς> πλείονα χρόνον· ἱστορῆσαι δέ σοι τὸν ὠκεανὸν ἐθέλοντι ὑπάρξει σὺν θεῷ πάντα κατὰ γνώμην, εἰ μηδὲν <τὴν> τῶν Γαλατῶν ἀμουσίαν καὶ τὸν χειμῶνα διευλαβηθείης. Ἀλλὰ τοῦτο μὲν ὅπως ἂν ᾖ τῷ θεῷ φίλον γενήσεται, ἐγὼ δὲ ὄμνυμί σοι τὸν πάντων ἀγαθῶν αἴτιον ἐμοὶ καὶ Σωτῆρα ὅτι διὰ τοῦτο ζῆν εὔχομαι, ἵν᾽ ὑμῖν τι χρήσιμος γένωμαι· τὸ δὲ « ὑμῖν » ὅταν εἴπω, τοὺς ἀληθινούς φημι φιλοσόφους, ὧν εἶναί σε πεισθεὶς οἶσθα πῶς ἐφίλησα καὶ φιλῶ καὶ ὁρᾶν εὔχομαι. Ἐρρωμένον σε ἡ θεία πρόνοια διαφυλάξοι πολλοῖς χρόνοις, ἀδελφὲ ποθεινότατε καὶ φιλικώτατε. Τὴν ἱερὰν Ἱππίαν καὶ τὰ παιδία ὑμῶν προσαγορεύω.

[1—5] Λ — [11 sq.] L Y

1 δυεῖν εἶπε : μυεῖν εἶπε (cf. 146 A)? Cumont διειλήφει Weil διένειμε? P. Thomas; locus desperatus. Cf. Suidam (« qui opera Maximorum varia sub eandem praescriptionem coegit ») *s. v.* Μάξιμος Ἠπειρώτης; de Prisco cf. Liban. *Epist.* 866 W. || 3 ἀλλ᾽ οὔτι cod. : ἀλλ᾽ οὖν Weil; an ἀλλ᾽ οὐκέτι?

11 Ἰουλιανὸς om. Y || 12—17 διευλαβηθείης om. Y || 14 < εἰς > Reiske || 16 μηδὲν scripsimus : μὴ δὲ cod. μή γε Hercher μὴ δὴ Sintenis μὴ Hertlein; cf. Plat. *Leg.* 829 B : μηδὲν χειμῶνας... διευλαβουμένους || < τὴν > Hertlein || 18 ἂν Heyler : ἐὰν codd. || 19 ἐμοὶ αἴτιον transp. L || 20 γνωμαι L || 23 διαφυλάξειε Hercher

14 [ep. 17].

Haec epistula ad Oribasium medicum, iampridem cum Iuliano artissimo amicitiae vinculo coniunctum (cf. Iulian., 277 BC), scripta est in Gallia, postquam Constantius Sallustium e Galliis revocavit (a. 358) ; cf. infra, p. 19, 8 sq. ; Iulian., *Orat.* VIII ; Koch, p. 450, adn. 17.

Ἰουλιανὸς Ὀριβασίῳ. 384

Τῶν ὀνειράτων δύο πύλας εἶναί φησιν ὁ θεῖος Ὅμηρος,
καὶ διάφορον εἶναι αὐτοῖς καὶ τὴν ὑπὲρ τῶν ἀποβησομένων
πίστιν. Ἐγὼ δὲ νομίζω σε νῦν, εἴπερ ποτὲ καὶ ἄλλοτε, σα- b
φῶς ἑωρακέναι περὶ τῶν μελλόντων· ἐθεασάμην γὰρ καὶ
αὐτὸς τοιοῦτον σήμερον· δένδρον γὰρ ᾤόμην ὑψηλὸν ἔν τινι
τρικλίνῳ σφόδρα μεγάλῳ πεφυτευμένον εἰς ἔδαφος ῥέπειν,
ἐν τῇ ῥίζῃ παραπεφυκότος ἑτέρου μικροῦ καὶ νεογενοῦς,
ἀνθηροῦ λίαν. Ἐγὼ δὲ περὶ τοῦ μικροῦ σφόδρα ἠγωνίων, μή
τις αὐτὸ μετὰ τοῦ μεγάλου συναποσπάσῃ· καὶ τοίνυν ἐπειδὴ
πλησίον ἐγενόμην, ὁρῶ τὸ μέγα μὲν ἐπὶ τῆς γῆς ἐκτεταμέ- c
νον, τὸ μικρὸν δὲ ὀρθὸν μέν, μετέωρον δὲ ἀπὸ γῆς. Ὡς οὖν
εἶδον, ἀγωνιάσας ἔφην· « οἵου δένδρου κίνδυνός ἐστι μηδὲ
τὴν παραφυάδα σωθῆναι ». Καί τις ἀγνὼς ἐμοὶ παντελῶς·
« ὅρα », ἔφησεν, « ἀκριβῶς καὶ θάρρει· τῆς ῥίζης γὰρ ἐν τῇ
γῇ μενούσης, τὸ μικρότερον ἀβλαβὲς διαμένει, καὶ βεβαιό-
τερον ἱδρυνθήσεται ».

Τὰ μὲν δὴ τῶν ὀνειράτων τοιαῦτα, θεὸς δὲ οἶδεν εἰς ὅ τι d
φέρει· περὶ δὲ τοῦ μιαροῦ ἀνδρογύνου [οὗ] μάθοιμ' ἂν ἡδέως
ἐκεῖνο, πότε διελέχθη περὶ ἐμοῦ ταῦτα, πότερον πρὶν ἢ τοῦ

---

8 sq. Homer. τ 562 sq. || 11 sq. cf. Herodot. I 108 || 25 ἀνδρογύνου : Eusebius ? cf. Iulian. 272 D et 274 A ; Koch, p. 443 et 448 sq.

V

13 τρικλίνῳ Ald. : τρικλείνῳ cod. || 14 [ἐν] Hertlein || 22 διαμενεῖ Ald. || 25 οὗ delevit Ald., an σου ? || 26 [ἢ] Hercher || τοῦ delevit Ald.

συντυχεῖν ἐμοὶ ἢ μετὰ τοῦτο· δήλωσον οὖν ἡμῖν ὅ τι ἂν οἷός τε ῇς.

Ὑπὲρ δὲ τῶν πρὸς αὐτὸν ἴσασιν ὅτι πολλάκις, αὐτοῦ τοὺς
ἐπαρχιώτας ἀδικήσαντος, ἐσιώπησα παρὰ τὸ πρέπον ἐμαυτῷ,
τὰ μὲν οὐκ ἀκούων, τὰ δὲ οὐ προσιέμενος, ἄλλοις δὲ ἀπι-
385 στῶν, ἔνια δὲ εἰς τοὺς συνόντας αὐτῷ τρέπων. Ὅτε δέ μοι
μεταδοῦναι τῆς τοιαύτης ἠξίωσεν αἰσχύνης, ἀποστείλας
τὰ μιαρὰ καὶ πάσης αἰσχύνης ἄξια ὑπομνήματα, τί με πράτ-
τειν ἐχρῆν; ἆρα σιωπᾶν, ἢ μάχεσθαι; τὸ μὲν οὖν πρῶτον,
οἶμαι, ἠλίθιον καὶ δουλοπρεπὲς καὶ θεομίσητον, τὸ δεύτερον
δὲ δίκαιον μὲν καὶ ἀνδρεῖον καὶ ἐλευθέριον, ὑπὸ δὲ τῶν
ἐχόντων ἡμᾶς πραγμάτων οὐ συγχωρούμενον. Τί τοίνυν
b ἐποίησα; πολλῶν παρόντων, οὓς ᾔδειν ἀναγγελοῦντας αὐτῷ,
« πάντη καὶ πάντως », εἶπον, « διορθώσει τὰ ὑπομνήματα
οὗτος ὁ δεῖνα, ἐπεὶ δεινῶς ἀσχημονεῖ ». Τοῦτο ἐκεῖνος
ἀκούσας τοσοῦτον ἐδέησε τοῦ σωφρόνως τι πρᾶξαι, ὥστε
πεποιηκέναι ὅσα νὴ τὸν θεὸν οὐδὲ εἷς μέτριος τύραννος,
οὕτω μου πλησίον ὄντος. Ἐνταῦθα τί πράττειν ἐχρῆν ἄνδρα
τῶν Πλάτωνος καὶ Ἀριστοτέλους ζηλωτὴν δογμάτων; ἆρα
περιορᾶν ἀνθρώπους ἀθλίους τοῖς κλέπταις ἐκδιδομένους,
c ἢ κατὰ δύναμιν αὐτοῖς ἀμύνειν, οἶμαι, ὡς ἤδη τὸ κύκνειον
ἐξᾄδουσι διὰ τὸ θεομισὲς ἐργαστήριον τῶν τοιούτων; Ἐμοὶ

18 sq. cf. Iulian. 192 C.

\

3 Ὑπὲρ δὲ τῶν πρὸς αὐτόν: cf. περὶ δὲ τῶν πρὸς Λαυράκιον infra ep. [1*] et Asmus *l. l.* p. 580 adn. 6 || ἴσασιν : ἴσθι Hercher ἴσασιν < οἱ θεοὶ > Heyler ἴσασιν < οἱ θεοὶ πάντες > Hertlein < πολλοὶ > ἴσασιν Reiske || 4 ἐμαυτῷ Ald. : ἐν αὐτῷ cod. || 6 ὅτε Valois (ad Ammian. Marc. XVII 3, 5) : ὅτι cod. || 10 οἶμαι Horkel : εἶναι cod. ἦν Martinius ἦν καὶ Wyttenbach ἦν ἂν Sintenis < ἐδόκει > εἶναι Reiske; « commode subintelligitur δοκεῖ » Heyler; cf. p. 136, 26 || 12 ἐχόντων cod. : συνεχόντων aut περιεχόντων Reiske κατεχόντων Cobet || 14 διορθώσει Ald. : διορθώσῃ cod. || 15 οὗτος Martinius : οὕτως cod. || 17 πεποίηκεν Reiske || ὅσα νὴ : οἷα μὰ Hertlein || 21 [οἶμαι] Hercher : οἱονεὶ P. Thomas || κύκνιον cod., corr. Martinius

μὲν οὖν αἰσχρὸν εἶναι δοκεῖ τοὺς μὲν χιλιάρχους, ὅταν λείπωσι τὴν τάξιν, καταδικάζειν (καίτοι †χρῆν ἱκανὰ† τεθνάναι παραχρῆμα καὶ μηδὲ ταφῆς ἀξιοῦσθαι), τὴν δὲ ὑπὲρ τῶν ἀθλίων ἀνθρώπων ἀπολείπειν τάξιν, ὅταν δέῃ πρὸς κλέπτας ἀγωνίζεσθαι τοιούτους, καὶ ταῦτα τοῦ θεοῦ συμμαχοῦντος ἡμῖν, ὅσπερ οὖν ἔταξεν. Εἰ δὲ καὶ παθεῖν τι συμ- d
βαίη, μετὰ καλοῦ τοῦ συνειδότος οὐ μικρὰ παραμυθία πορευθῆναι. Τὸν δὲ χρηστὸν Σαλούστιον θεοὶ μέν μοι χαρίσαιντο. Κἂν συμβαίνῃ δὲ διὰ τοῦτο τυγχάνειν διαδόχου, λυπήσει τυχὸν οὐδέν· ἄμεινον γὰρ ὀλίγον ὀρθῶς ἢ πολὺν κακῶς πρᾶξαι χρόνον. Οὐκ ἔστιν, ὥς λέγουσί τινες, τὰ Περιπατητικὰ δόγματα τῶν Στωικῶν ἀγενέστερα, τοσούτῳ δὲ 386
μόνον ἀλλήλων, ὥς ἐγὼ κρίνω, διαφέρει· τὰ μὲν γάρ ἐστιν ἀεὶ θερμότερα καὶ ἀβουλότερα, τὰ δὲ <μετὰ> φρονήσεως ἀξιοῖ τοῖς ἐγνωσμένοις ἐμμένειν.

15

Ad Constantium.

a

Socrat., III, 1, 32 : Ἰουλιανοῦ δὲ μεμψαμένου παρὰ βασιλεῖ τὴν ῥᾳθυμίαν τῶν στρατηγούντων, ἕτερος ἐπέμφθη στρατηγὸς ἡρμοσμένος τῇ προθυμίᾳ Ἰουλιανοῦ. Sozomen., V, 2, 21 : Κεχαρισμένος δὲ τοῖς στρατιώταις ἐντεῦθεν γενόμενος, ἐδήλωσε (scil. ὁ Ἰουλιανὸς) Κωνσταντίῳ τὴν τῶν στρατηγῶν ῥᾳστώνην. Cf. Ammian. Marc., XVI, 4, 3 et 7, 1, etc.

b

Ammian. Marc., XVI, 12, 67 : His tot ac talibus prospero peractis eventu, in palatio Constantii quidam Iulianum cul-

---

V

2 χρῆν ἱκανὰ cod. : χρῆν ἐκείνους Boissonade χρὴ νικᾶν ἢ P. Thomas || 6 ὅσπερ Reiske : ὥσπερ cod. || 6 sq. cf. Ammian. Marc. XVII 3, 2 : « *animam prius amittere quam hoc sinere fieri memorabat* » || 14/15 τὰ δὲ < μετὰ > φρονήσεως ἀξιοῖ P. Thomas : τὰ δὲ φρονήσεως ἄξια cod. ; cf. Iulian. 355 B

pantes, ut princeps ipse delectaretur, inrisive « Victorinum » ideo nominabant, quod verecunde referens quotiens imperaret. superatos indicabat saepe Germanos (cf. p. 21, 31 sq.).

c

Ibid., XVII, 3, 5 : Nihilo minus tamen diu postea indictionale augmentum oblatum sibi nec recitare nec subnotare perpessus, humi proiecit (*scil.* Iulianus), litterisque Augusti monitus ex relatione praefecti non agere ita perplexe, ut videretur parum Florentio credi, rescripsit gratandum esse si provincialis, hinc inde vastatus, saltem sollemnia praebeat, nedum incrementa, quae nulla supplicia egenis possent hominibus extorquere.

d

Ibid., XVII, 11, 1 : Haec cum in comitatu Constantii subinde noscerentur (erat enim necesse, tamquam apparitorem, Caesarem super omnibus gestis ad Augusti referre scientiam), omnes qui plus poterant in palatio, adulandi professores iam docti, recte consulta prospereque conpleta vertebant in deridiculum (cf. p. 21, 31 sq.).

16

Ad Florentium praefectum praetorio Galliarum.

Ammian. Marc., XX, 4, 6 : Caesar... redire ad se praefectum hortatus est, olim Viennam specie annonae parandae digressum, ut se militari eximeret turba... 8. Qui cum suscepisset Caesaris litteras monentis petentisque ut venire accelararet rem publicam consiliis iuvaturus, obstinatissime detrectabat hac ratione pavore mente confusa, quod aperte scripta significabant ab imperatore nusquam diiungi debere praefectum in ardore terribilium rerum. Adiectumque est quod, si procurare (*l.* procursare ?) dissimulasset, ipse propria sponte proiiceret insignia principatus, gloriosum esse existimans iussa morte (*l.* iussam mortem ?) oppetere, quam ei provinciarum interitum adsignari (cf. Iulian., 283 A).

17

Ad Constantium [a. 360].

a

Iulian., *Epist. ad Athen.*, 283 D : Γράψαι με ἔπεισαν

αὐτῷ (scil. τῷ Κωνσταντίῳ), μᾶλλον δὲ ἐβιάσαντο (cf. Koch, p. 459).

b-c

De sequentibus litteris cf. Iulian., *Epist. ad Athen.*, 281 C : Σκοπεῖτε δὲ ὅπως καὶ γενόμενος αὐτοκράτωρ ἔτι θεραπευτικῶς αὐτῷ (scil. τῷ Κωνσταντίῳ) προσηνέχθην ἐξ ὧν ἐπέστειλα. 285 D : Οὔπω καὶ τήμερον <ἐν> ταῖς πρὸς αὐτὸν ἐπιστολαῖς τῇ δοθείσῃ μοι παρὰ τῶν θεῶν ἐπωνυμίᾳ κέχρημαι, Καίσαρα δὲ ἐμαυτὸν ἔγραψα. Cf. infra, p. 23, 33 sq., et Liban., *Orat.* XVIII, 106.

b

Ammian. Marc., XX, 8, 2 : Inter quae Iulianus apud Parisios hibernis locatis, summa coeptorum quorsum evaderet pertimescens, erat anxius, numquam adsensurum Constantium factis multa volvendo considerans, apud quem sordebat ut infimus et contemptus. 3. Circumspectis itaque trepidis rerum novarum exordiis, legatos ad eum mittere statuit gesta docturos, eisque concinentes litteras dedit, quid actum sit quidve fieri oporteat deinceps monens apertius et demonstrans. 4. Quamquam eum haec dudum conperisse opinabatur relatu Decentii olim reversi et cubiculariorum recens de Galliis praegressorum, qui ad Caesarem aliqua portavere sollemnia, et quamquam non repugnanter, tamen nec adrogantibus verbis quicquam scripsit ne videretur subito renuntiasse ; erat autem litterarum sensus huiusmodi :

5. « Ego quidem propositi mei fidem non minus moribus quam foederum pacto, quoad fuit, unum semper atque idem sentiens conservavi, ut effectu multiplici claruit evidenter. 6. Iamque inde uti me creatum Caesarem pugnarum horrendis fragoribus obiecisti, potestate delata contentus, currentium ex voto prosperitatum nuntiis crebris, ut apparitor fidus, tuas aures implevi, nihil usquam periculis meis adsignans, cum documentis adsiduis constet, diffusis permixtisque passim Germanis, in laboribus me semper visum omnium primum, in laborum refectione postremum. 7. Sed bona tua venia dixerim, siquid novatum est nunc, ut existimas, in multis bellis et asperis aetatem sine fructu conterens miles olim deliberatum implevit, fremens secundique inpatiens loci rectorem, cum nullas sibi vices a Caesare diuturni sudoris et victoriarum frequentium rependi posse contemplaretur. 8. Cuius iracundiae nec dignitatum augmenta nec an-

nuum merentis stipendium, id quoque inopinum accessit, quod ad partis orbis eoi postremas venire iussi homines adsueti glacialibus terris, separandique liberis et coniugibus, egentes trahebantur et nudi. Unde solito saevius efferati nocte in unum collecti palatium obsidere, Augustum Iulianum vocibus magnis appellantes et crebris. 9. Cohorrui, fateor, et secessi, amendatusque dum potui salutem mussatione quaeritabam et latebris. Cumque nullae darentur indutiae, libero pectoris muro, ut ita dixerim, saeptus, progressus ante conspectum omnium steti, molliri posse tumultum auctoritate ratus vel sermonibus blandis. 10. Exarsere mirum in modum, eo usque provecti ut, quoniam precibus vincere pertinaciam conabar, instanter mortem contiguis adsultibus intentarent. Victus denique mecumque ipse contemplans, quod alter confosso me forsitan libens declarabitur princeps, adsensus sum, vim lenire sperans armatam.

11. Gestorum hic textus est, quem mente quaeso accipito placida. Nec actum quidquam secus existimes, vel susurrantes perniciosa malignos admittas ad conpendia sua excitare secessiones principum adsuetos ; sed adulatione vitiorum altrice depulsa, excellentissimam virtutum omnium adverte iustitiam, et condicionum aequitatem quam propono bona fide suscipito, cum animo disputans haec statui Romano prodesse nobis*que*, qui caritate sanguinis *et* fortunae superioris culmine sociamur. 12. Ignosce enim.... quae cum ratione poscuntur non tam fieri cupio, quam a te utilia probari et recta, avide tua praecepta deinde quoque suscepturus.

13. Quae necesse sit fieri, in conpendium redigam breve. Equos praebebo curules Hispanos et miscendos Gentilibus atque Scutariis aduliscentes Laetos quosdam, cis Rhenum editam barbarorum progeniem, vel certe ex dediticiis, qui ad nostra desciscunt. Et haec ad usque exitum vitae me spondeo non modo grato *animo*, verum cupido quoque facturum. 14. Praefectos praetorio aequitate et meritis notos tua nobis dabit clementia, residuos ordinarios iudices militiaeque moderatores promovendos arbitrio meo concedi est consentaneum, itidemque stipatores. Stultum est enim, cum ante caveri possit ne fiat, eos *ad* latus imperatoris adscisci, quorum mores ignorantur et voluntates.

15. Hoc sane sine ulla dubitatione firmaverim : tirones ad peregrina et longinqua Galli mittere, diuturna perturbatione casibusque vexati gravissimis, nec sponte sua poterunt nec coacti, ne consumpta penitus iuventute, *ut* adfliguntur praeterita recordantes, ita desperatione pereant inpenden-

tium. 16. Nec Parthicis gentibus opponenda auxilia hinc acciri conveniet, cum adhuc nec barbarici sunt impetus interclusi et, si dici quod verum est pateris, hae provinciae, malis iactatae continuis, externis indigent adiumentis et fortibus.

17. Haec hortando, ut aestimo, salutariter scripsi, poscens et rogans. Scio enim, scio, ne quid sublatius dicam quam imperio congruit, quas rerum acerbitates, iam conclamatas et perditas, concordia vicissim sibi cedentium principum meliorem revocavit in statum, cum appareat maiorum exemplo nostrorum moderatores haec et similia cogitantes, fortunate beateque vivendi repperire quodam modo viam, et ultimo tempori posteritatique iucundam sui memoriam commendare. »

18. His litteris iunctas secretiores alias Constantio offerendas clanculo misit, obiurgatorias et mordaces, quarum seriem nec scrutari licuit nec, si licuisset, proferre decebat in publicum. 19. Ad id munus inplendum electi viri sunt gravis, Pentadius officiorum magister et Eutherius cubiculi tunc praepositus, post oblatas litteras relaturi nullo suppresso quae viderunt et super ordine futurorum fidenter acturi.

Zonaras, XIII, 10, 16 sq. : Ὁ δὲ (scil. Ἰουλιανὸς) Πεντάδιον τὸν μάγιστρον τῶν βασιλικῶν τάξεων σὺν ἑτέροις ἀπέστειλε πρὸς Κωνστάντιον, ἐπιστείλας αὐτῷ καὶ ἀπολογούμενος ὡς οὐχ ἑκὼν προήχθη πρὸς τὴν τῆς βασιλείας ἀνάρρησιν, βιασθεὶς δ᾽ ὑπὸ στρατιωτῶν μὴ βουλομένων στρατεύεσθαι ὑπὸ Καίσαρι, ἀλλ᾽ ὑπὸ βασιλεῖ, καὶ ἵν᾽ ἔχοιεν ἐξ αὐτοῦ ἀξίας τῶν πόνων τὰς ἀμοιβὰς ἀπαιτεῖν, καὶ ἀξιῶν δέξασθαι τὴν τῆς ἀρχῆς κοινωνίαν εἰς ὠφέλειαν ἐσομένην τῇ πολιτείᾳ, ἐπαγγελλόμενός τε καὶ τοὺς ἁμιλλητηρίους ἵππους ἐξ Ἰσπανίας, ὡς ἔθος, καὶ τοὺς ἐπιλέκτους ἄνδρας ἐκ τῶν Γαλλιῶν στέλλειν αὐτῷ. Ταῦτ᾽ ἐπιστείλας οὐ βασιλέα ἑαυτὸν ἐν τῇ ἐπιγραφῇ προσεγράψατο, ἀλλὰ Καίσαρα, ἵνα μὴ τῇ ἐπιγραφῇ προσοχθίσας ὁ Κωνστάντιος τὴν ἐπιστολὴν ἀποπέμψηται (cf. p. 21, 9).

Ps. Aurel. Victor, *Epit.*, 42, 16 : Iulianus mandatis mollioribus refert se sub nomine celsi imperii multo officiosius pariturum.

Zosim., III, 9, 3 : Ὁ δὲ (scil. Ἰουλιανὸς) δυσανασχετῶν μὲν ἐπὶ τῷ γεγονότι, τὸ δὲ ἀνακαλέσασθαι τὸ πραχθὲν οὐδεμίαν οἰηθεὶς ἔχειν ἀσφάλειαν, Κωνσταντίου μήτε ὅρκοις ἐμμένοντος μήτε συνθήκαις ἢ ἄλλην τινὰ τῶν ἐν ἀνθρώποις πίστιν φυλάττοντος, ὅμως ἐπειρᾶτο τῆς αὐτοῦ γνώμης, καὶ πρέσβεις ἐκπέμψας, παρὰ τὴν αὐτοῦ προαίρεσίν τε καὶ γνώμην ἔφη προβῆναι τὰ τῆς ἀναρρήσεως, οἷς εἰ παράσχοι

συγγνώμην, ἕτοιμος ἔφασκεν εἶναι τὴν τοῦ Καίσαρος ἔχειν ἀξίαν, ἀποθέμενος τὸ διάδημα.

c

Ammian. Marc., XX, 9, 6 : Ingressus itaque Parisios Leonas susceptus ut honoratus et prudens, postridie principi progresso in campum cum multitudine armata pariter et plebeia, quam de industria convocarat, et tribunali, ut emineret altius, superstanti, scripta iubetur offerre. Replicatoque volumine edicti quod missum est, et legi ab exordio coepto, cum ventum fuisset ad locum id continentem, quod gesta omnia Constantius inprobans Caesaris potestatem sufficere Iuliano censebat, exclamabatur undique vocum terribilium sonu : 7. « Auguste Iuliane », ut provincialis et miles et rei publicae decrevit auctoritas recreatae quidem, sed adhuc metuentis redivivos barbarorum excursus. 8. Quibus auditis, Leonas cum Iuliani litteris haec eadem indicantibus revertit incolumis, solusque admissus est ad praefecturam Nebridius; id enim Caesar quoque scribens ex sententia sua fore aperte praedixit.

Zonaras, XIII, 10, 28 : Ἀπογνοὺς μέντοι (scil. ὁ Λεωνᾶς) δυνήσεσθαί τι τῶν αὐτῷ προστεταγμένων ἀνύσαι, ὑπέστρεψε μετὰ γραμμάτων τοῦ τυραννήσαντος (*scil.* Iuliani), ἀναιδῶς ὀνειδιζόντων τὸν αὐτοκράτορα καὶ ἐπιπληττόντων ὡς πλεῖστα ἐξαμαρτόντα κατὰ τοῦ γένους αὐτοῦ καὶ ἀπειλούντων αὐτὸν γενήσεσθαι τιμωρὸν τῶν ἀδίκως παθόντων.

18

Haec a Iuliano proclamata esse paulo postquam Augustus a militibus apud Parisios salutatus fuerat, narrat Ammianus. Cf. Gothofredum ad *Cod. Theodos.*, II, 29, 1.

Ammian. Marc., XX, 5, 7 : « Ut autem rerum integer ordo servetur, praemiaque virorum fortium maneant incorrupta, nec honores ambitio praeripiat clandestina, id sub reverenda consilii vestri facie statuo, ut neque civilis quisquam iudex nec militiae rector, alio quodam praeter merita suffragante, ad potiorem veniat gradum, non sine detrimento pudoris eo, qui pro quolibet petere temptaverit, discessuro. »

---

19 [ep. 5*].

Haec epistula num revera scripta sit cum Iulianus adversus

Constantium bellum gereret, parum liquet. Maximinus nobis ignotus est. — Epistulam praebent codd. XY.

Μαξιμίνῳ.

Ναῦς ἐπέταξα γενέσθαι περὶ τὰς Κεγχρέας. Τὸ μὲν οὖν ὅσας, ὁ τῶν Ἑλλήνων ἡγούμενος φράσει, τὸ δὲ ὅπως χρὴ ποιεῖσθαι τὴν ἐπιμέλειαν, ἄκουε παρ' ἡμῶν· ἀδωροδοκήτως καὶ ταχέως. Ὅπως δὲ μὴ μεταμελήσει σοι τῆς τοιαύτης ὑπουργίας, αὐτὸς σὺν θεοῖς ἐπιμελήσομαι.

20-22. EPISTULAE EX ILLYRICO AD CIVITATES MISSAE

[cf. *Epist. ad S. P. Q. Atheniensem*, p. 268 A — 287 D].

Mamertin., *Gratiarum actio Iuliano*, 9 : Urbs Nicopolis... in ruinas lacrimabiles prope tota conciderat ... Ipsae illae bonarum artium magistrae et inventrices Athenae omnem cultum publice privatimque perdiderant. In miserandam ruinam conciderat Eleusina. Sed universas urbes ope imperatoris refotas enumerare perlongum est ; scire satis est cunctas Macedoniae, Illyrici, Peloponessi civitates unis aut binis epistulis maximi imperatoris (*scil.* Iuliani) repentinam induisse novatis moenibus iuventatem, aquas locis omnibus scatere...

Liban., *Orat.* XII, 64 : Οὕτω δὲ πλείω λόγον τοῦ μὴ δοκεῖν ἀδικεῖν ἢ τῆς νίκης αὐτῆς ἐπεποίητο, ὥστ' ἐν μέσοις τοῖς δεινοῖς ἐμβεβηκὼς δι' Ἑλλήνων ἅπασιν ἀνθρώποις ἀπελογεῖτο (scil. ὁ Ἰουλιανὸς) πέμπων ἐπιστολὰς ἐκεῖσε κατὰ τοὺς ἑκάστων τρόπους μείζους, ἐλάττους, τὸ μέσον ἐχούσας, ὡς ἔμελλον τοῖς δεξομένοις ἁρμόσειν. Cf. etiam *ibid.*, XIII, 52.

Ibid., XVIII, 113 (cf. Socrat., III, 1, 38) : Μεγίστη δὲ συμμαχία τὰ τοῦ δειλοῦ καὶ προδότου (scil. τοῦ Κωνσταντίου) γράμματα πρὸς τοὺς βαρβάρους, ἃ πλέων τε καὶ πεζεύων (scil. ὁ Ἰουλιανὸς) ἀνεγίνωσκε μὲν πόλεσιν, ἀνεγίνωσκε δὲ στρατοπέδοις, παρεξετάζων τοὺς αὑτοῦ πόνους ταῖς καλαῖς ἐπιστολαῖς· αἳ δὲ τῷ μὲν ἐξεπολέμουν τὸν ἀκούοντα, τῷ δὲ προσετίθεσαν καὶ ταῦτα πολλοστὸν ἄγοντι μέρος τῆς ἐκείνου στρατιᾶς.

Zosim., III, 10, 3 : ... περὶ τὸ Σίρμιον ἦλθε . . . τῇ Ῥω-

μαίων γερουσίᾳ καὶ ταῖς ἐν τῇ Ἰταλίᾳ δυνάμεσιν ἔγραφεν (scil. ὁ Ἰουλιανὸς) ἔχειν ἐν ἀσφαλεῖ τὰς πόλεις ὡς αὐτοῦ βασιλεύοντος. 4. Ἐπεὶ δὲ Ταῦρος καὶ Φλωρέντιος, οἱ κατ' ἐκεῖνον τὸν ἐνιαυτὸν ὕπατοι, τῆς Κωνσταντίου μερίδος ὄντες, ἅμα τῷ μαθεῖν ὅτι Ἰουλιανὸς ὑπερβὰς τὰς Ἄλπεις εἰς Παιονίαν ἀφίκετο, φυγῇ τὴν Ῥωμαίων ἀπέλιπον, φυγάδας μὲν αὐτοὺς ὑπάτους ἐν τοῖς συμβολαίοις ἐκέλευε γράφεσθαι, πάσας δὲ τὰς πόλεις ἃς ἔτυχεν ἤδη διαδραμὼν ἐφιλοφρονεῖτο, χρηστὰς ἐναποτιθέμενος πᾶσιν ἐλπίδας· ἔγραφε δὲ καὶ Ἀθηναίοις (p. 268 A — 287 D) καὶ Λακεδαιμονίοις καὶ Κορινθίοις, τὰς αἰτίας τῆς σφετέρας ἐμφαίνων ἀφίξεως. 11, 1. Ὄντι δὲ αὐτῷ κατὰ τὸ Σίρμιον ἐξ ἁπάσης ὡς εἰπεῖν τῆς Ἑλλάδος ἐστέλλοντο πρέσβεις, οἷς ἀποκρινάμενος τὰ προσήκοντα, καὶ ὅσα ἦν δίκαια φιλοτιμησάμενος, ... ἐπὶ τὰ πρόσω παρῄει.

20

Ad Corinthios.

Liban., *Orat.* XIV (Πρὸς Ἰουλιανόν), 29 sq. : Ἀνάμνησον γὰρ σαυτόν, ὦ βασιλεῦ, τῆς ἐπιστολῆς ἣν Κορινθίοις ἔπεμψας, ἄκων μὲν εἰς τὸν πόλεμον ἐμβάς, ἤδη δὲ τὸ πλέον λαβών, οὔπω δὲ εἰς τέλος ἥκων· ἐν ᾗ σαφῶς εὐεργέτας σαυτοῦ τοὺς Κορινθίους καλεῖς. Ἀλλὰ γὰρ αὐτοῦ μοι δεῖ τοῦ μέρους τῆς ἐπιστολῆς, καὶ γὰρ ἂν ἡδίους τοὺς ἀκούοντας ποιήσαιμεν·

« Πατρῷα μοι πρὸς ὑμᾶς ὑπάρχει φιλία· καὶ γὰρ ᾤκησε παρ' ὑμῖν ὁ ἐμὸς πατὴρ καὶ ἀναχθεὶς ἔνθεν, ὥσπερ ἐκ Φαιάκων Ὀδυσσεύς, τῆς πολυχρονίου πλάνης ἀπηλλάγη ».

Εἶτα μικρὰ διελθὼν περὶ πανούργου μητρυιᾶς (scil. Helena), « ἐνταῦθα », φῄς, « ὁ πατὴρ ἀνεπαύσατο ».

21

Ad senatum Romanum.

Ammian. Marc., XXI, 10, 7 : Iamque altius se extollens et numquam credens ad concordiam provocari posse Constantium, orationem acrem et invectivam, probra quaedam in eum explanantem et vitia, scripserat (*scil.* Iulianus) ad senatum. Quae cum Tertullo administrante adhuc prae-

fecturam recitarentur in curia, eminuit nobilitatis cum speciosa fiducia benignitas grata. Exclamatum est enim in unum cunctorum sententia congruente : « auctori tuo reverentiam rogamus ». 8. Tunc et memoriam Constantini ut novatoris turbatorisque priscarum legum et moris antiquitus recepti vexavit, eum aperte incusans, quod barbaros omnium primus ad usque fasces auxerat et trabeas consulares. — Cf. Mamertin., *Grat. actio Iuliano*, 24.

22

Ad Constantinopolitanos vel ad eorum legatum Themistium has litteras missas esse verisimile est.

Themist., *Orat.* XXXI, 354 D : Ἀρκεῖ μοι Κωνστάντιος, ὁ κόσμον τῆς ἑαυτοῦ βασιλείας τὴν ἐμὴν φιλοσοφίαν εἰπὼν πολλάκις, ἀρκεῖ βιασθεὶς Ἰουλιανὸς τῆς οἰκουμένης καλέσαι πρεσβευτὴν ἄξιον, οὐ μόνον τῆς καλλιπόλεως, καὶ τὰ πρῶτα φέρεσθαι φιλοσοφίας ἐν γράμμασιν ὁμολογήσας.

23

De sacerdotiis Atheniensium.

Liban., *Orat.* XVIII, 115 : Ὁδοῦ δὲ πάρεργον, στάσιν ἐμπεπτωκυῖαν ἱεροῖς γένεσι διιστᾶσαν τρόπον τινὰ τὴν πόλιν (scil. Athenas) ἐπιστολαῖς ἔπαυσεν (scil. ὁ Ἰουλιανός), ὡς ἂν ἐν ὁμονοίᾳ καὶ καθ᾽ ἡσυχίαν τὰ πάτρια τελοῖτο τοῖς κρείττοσι.

24

Epistulae et rescripta de rebus Antiochenis.

Haec acta sunt antequam Iulianus Antiochiae hiemavit (a. 362-363) : cf. *Misop.*, 368 C.

Iulian., *Misop.*, 367 C : Καὶ δὴ πρῶτον ἐπῄνουν ὑμᾶς ὡς ἐνεδέχετό μοι φιλοτίμως, οὐκ ἀναμείνας τὴν πεῖραν οὐδὲ ὅπως ἕξομεν πρὸς ἀλλήλους ἐνθυμηθείς· ἀλλὰ νομίσας ὑμᾶς μὲν Ἑλλήνων παῖδας, ἐμαυτὸν δέ, εἰ καὶ γένος ἐστί μοι Θρᾴκιον, Ἕλληνα τοῖς ἐπιτηδεύμασιν, ὑπελάμβανον ὅτι μάλιστα ἀλλήλους ἀγαπήσομεν . . . ἔπειτα πρεσβευσαμένοις ὑμῖν παρ᾽ ἐμὲ καὶ ἀφικομένοις ὑστέροις οὐ τῶν ἄλλων μόνον, ἀλλὰ καὶ Ἀλεξανδρέων τῶν ἐπ᾽ Αἰγύπτῳ, πολὺ μὲν ἀνῆκα χρυσίον, πολὺ δὲ ἀργύριον, φόρους δὲ παμπληθεῖς ἰδίᾳ παρὰ τὰς ἄλλας πόλεις, ἔπειτα τοῦ βουλευτηρίου τὸν

κατάλογον διακοσίοις βουλευταῖς ἀνεπλήρωσα, φεισάμενος οὐδενός . . . Δέδωκα οὖν ὑμῖν καὶ ἀπὸ τῶν ἐπιτροπευσάντων τοὺς θησαυροὺς τοὺς ἐμοὺς καὶ ἀπὸ τῶν ἐργασαμένων τὸ νόμισμα τοὺς πλουσιωτάτους ἑλομένοις ἔχειν. Cf. *ibid.*, 366 D sq., et 370 D.

25

Ad Cyllenium.

Koch (p. 336 sq.) opinatur epistulam ad Cyllenium prooemium fuisse maioris operis historici, quod, mortuo Constantio editum, τοῦ βιβλιδίου (cf. infra p. 212 sq.) quasi supplementum erat.

Eunap., *Fragm.* 14. 7 (*Excerpta de sententiis*, p. 79 ed. Boissevain) : Ὅτι περὶ τῆς στρατείας τῆς κατὰ Ναρδινῶν πολυτρόπου γενομένης ἐκτίθησι μὲν αὐτὸς Ἰουλιανός, ἄλλα δὲ ἀλλαχοῦ καὶ πρὸς πολλοὺς ἀναφράζων ἐν ἐπιστολαῖς. Πρός τινα γοῦν Κυλλήνιον καὶ ταῦτα ἐξηγούμενον τὰ μὲν ἐπιτιμῶν ὡς διαμαρτάνοντα τῆς ἀληθείας φαίνεται, καὶ παρεκτίθησί γε τὰ πραχθέντα ὅπως γέγονε· φάσκων δὲ μὴ δεῖσθαι τοῦ τὰ ἔργα λ έ γ ο ν τ ο ς (ο ὐ δ ὲ γ ὰ ρ Π α λ α μ ή δ η ν Ὁ μ ή ρ ο υ π ρ ο σ δ ε η θ ῆ ν α ί φ η σ ι ν ε ἰ ς δ ό ξ α ν), καὶ τὰς ἀλλοτρίας συγγραφὰς τῶν ἰδίων ἔργων ὑπὸ μεγαλοψυχίας παραιτούμενος, αὐτὸς ὅμως διὰ <τὸ> μέγεθος τῶν πεπραγμένων πρὸς τὸ λέγειν αὐτὰ κατασειόμενος, οὐδὲ συγγραφὴν ἁπλῆν, ἀλλ' ἔπαινον νεανικόν τινα καὶ λαμπρὸν ἑαυτοῦ διέξεισιν αὐτοκέλευστος, καὶ πρὸς πολλοὺς αὐτὰ διὰ τῶν ἐπιστολῶν ὑμνῶν.

a

Sequentia non ad libellum de Argentoratensi pugna (cf. infra p. 212 sq.), qui vivo adhuc Constantio scriptus est, sed potius ad hanc epistulam (vel ad ep. supra p. 25 sq. laudatas) referenda esse videntur :

Liban., *Orat.* XVIII, 94 : Πεσὼν τοίνυν εἰς ἀπορίαν ὁ γενναῖος ἐκεῖνος (scil. ὁ Ἰουλιανὸς) καὶ τῷ τε πεισθῆναι καὶ μὴ τὸν ὄλεθρον ὁρῶν ἀκολουθοῦντα (τό τε γὰρ γυμνωθῆναι τῆς

---

13 Ναρδινῶν : Ἀλαμανῶν Bekker Ναρισκῶν Müller ; de itinere per Marcianas silvas (Amm. Marc. XXI 8, 2) i. e. Hercyniam (cf. p. 29, 23, et Cumont *Rev. de Philol.* XXXIX, 1915, p. 259 sq.) agi videtur || **14** πολυτρόπου γενομένης Mai : πολύτροπον γενομένην cod. || **16** ἐξηγημένον van Herwerden

δυνάμεως τὴν παρὰ τῶν ἐναντίων εἶχε σφαγήν, τό τε ἔχεσθαι τὴν παρὰ τῶν οἰκείων), μᾶλλον εἵλετο πειθόμενός τι παθεῖν ἢ δοκῶν ἀπειθεῖν, κουφοτέραν κρίνων τὴν παρὰ τῶν πολεμίων πληγὴν ἧς ἔμελλε πλήξειν ὁ συγγενής. Οὕτω δὴ πράττειν ἔδωκεν ἃ βούλοιντο τοῖς τοῦ πρεσβυτέρου κόλαξιν· οἱ δὲ ἀπ᾽ αὐτῶν ἀρξάμενοι τῶν δορυφόρων καὶ οἷς μάλιστα ἐπίστευεν ἐκλέγοντες διὰ πάντων ᾖεσαν, ἕως αὐτῷ κατέλιπον ὁπλίτας εὔξασθαι μόνον δυναμένους.

Cf. Zosim., III, 3, 2 : Συνιδὼν δὲ (scil. ὁ Ἰουλιανὸς) ὡς... οἱ δὲ παρὰ Κωνσταντίου δοθέντες αὐτῷ, τριακόσιοι καὶ ἑξήκοντα τὸν ἀριθμὸν ὄντες (cf. Iulian. p. 277 D), μόνον εὔχεσθαι, καθάπερ αὐτός πού φησιν, ᾔδεσαν...

b

Utrum haec fragmenta revera epistulae ad Cyllenium (cf. v. 24 : σοι) an alii operi historico (cf. infra p. 212 sq.) tribuenda sint, compertum non habemus. Certe hic nobis edenda erant. De re cf. Ammian. Marc., XVII, 1, 8 (*prope silvam... squalore tenebrarum horrendam*), et Zosim., III, 4, 2; cf. etiam quae de expeditione adversus Constantium per Hercyniam silvam facta narrat Iohann. Antioch., *Fragm.* 177 (*Excerpta de insidiis*, p. 115 ed. de Boor).

Suidas, s. *v.* Χρῆμα (1663, 12 ed. Bernhardy) : Ἰουλιανός·

Περὶ τὴν Ἑρκυνίαν ὕλην ἐθεόμεν, καὶ εἶδον ἐγὼ χρῆμα ἐξαίσιον· ἰδοὺ γοῦν σοι θαρρῶν ἐγὼ ἐγγυῶμαι μήποτε ὦφθαι τοιοῦτον μηδὲν ὅσα γε ἴσμεν ἡμεῖς ἐν τῇ Ῥωμαίων, ἀλλ᾽ εἴτε τὰ Θετταλικὰ Τέμπη δύσβατα νομίζει τις, εἴτε τὰ ἐν Θερμοπύλαις, εἴτε τὸν μέγαν καὶ διωλύγιον Ταῦρον, ἐλάχιστον ἴστω χαλεπότητος ἕνεκα πρὸς τὸ Ἑρκύνιον τοὔνομα.

Cf. *ibid.*, *s. v.* Ἑρκύνιοι δρυμοί, ὅθεν ὁ Ἴστρος ναυσίπορος ἐκ πηγῶν αἴρεται. Cf. etiam *Misop.*, 359 B.

[**22** sq.] Suidae codd. : AGIMS

23 περὶ AMS : πρὸς GI ‖ **24** ἐγὼ A : om. GIMS ‖ **25** μηδὲν Heyler : μηδὲ codd. ‖ **27/28** ἐλάχιστα Hercher ‖ **28** ἴστω Hertlein : ἔστω codd. ‖ **28/29** τοὔνομα codd. : ὄντα Hercher. an νέμος?

26-39. CIRCA HIEMEM A. 361-362 AD AMICOS SUOS SCRIBIT VEL EOS AD SE VOCAT IULIANUS

Gregor. Nazianz., *Orat.* V, 20 : Πολλοὺς γὰρ τῶν αὐτῷ συνήθων τε καὶ γνωρίμων ἐκ τῶν κατὰ τὴν Ἀσίαν διατριβῶν μάλιστα ἐκάλει μὲν (scil. ὁ Ἰουλιανὸς) κατὰ πᾶσαν σπουδὴν ὡς δράσων θαυμάσια, οἷα καὶ ταῖς ἐλπίσιν ἐπτέρου μεμνημένους τῶν ὑποσχέσεων· ἐπεὶ δὲ παρεῖεν, τοῦτο ἐκεῖνο αἱ τῶν ψήφων κλοπαὶ καὶ τῶν ὄψεων ἀπάται, τοὺς μὲν τόνδε τὸν τρόπον, τοὺς δὲ τὸν διαπαίζων, ἔστι δὲ οὓς καὶ τραπέζῃ φιλοφρονούμενος καὶ πολὺ τὸ « ἑταῖρε » προπίνων καὶ λαρυγγίζων ἀντ᾽ ἄλλου τινὸς δελεάσματος, ἀπράκτους ἀπέπεμπεν . . . Cf. Liban., *Epist.* 1062 W. ; *Orat.* XVIII, 189.

Mamertin., *Gratiarum actio Iuliano*, 25 : At tu, Auguste, omnibus nugis remotis, optimum et doctissimum quemque perquiris. Si quis praestat virtutibus bellicis et laude militiae, in amicis habetur ; qui in oratoria facultate, qui in scientia iuris civilis excellit, ultro ad familiaritatem vocatur. Quicumque in administratione rei publicae innocentem se umquam et strenuum praebuit, in consortium munerum receptatur...

---

26 [ep. 38].

Iulianus a. 360 Atthuariis cursim domitis (p. 31, 7 sq.) per Vesontionem Viennam hiematurus abscessit (Ammian. Marc., XX, 10, 3). Mense Iulio a. 361 adversus Constantium imperatorem profectus per Illyricum (p. 32, 6) Constantinopolim petiit. Quo in itinere, fortasse cum Naissi degeret (p. 32, 21 sq. : συγκατελθόντος . . . στρατοπέδου ; cf. p. 33, 9), i. e. mense Novembri a. 361 ad Maximum philosophum, praeceptorem suum, qui tunc Ephesi vivebat, hanc epistulam misit qua eum ad se vocaret (cf. Eunap., *Vit. Soph.*, p. 476 sq., et infra p. 33, 6 sq.). Maximus mense Ianuario a. 362, ut videtur, Constantinopolim appulit (Eunap., *l. l.* ; Ammian. Marc., XXII, 7, 3 ; Liban., *Orat.* XVIII, 155).

414 Μαξίμῳ φιλοσόφῳ.

Πάντα ἀθρόα ἔπεισί μοι καὶ ἀποκλείει τὴν φωνήν, ἄλλο ἄλλῳ προελθεῖν οὐ ξυγχωροῦν τῶν ἐμῶν διανοημάτων, εἴτε

C XY = d

34 ἀθρόα C : ἀθρόως d || 35 ἄλλῳ Ald. : ἄλλως codd.

ψυχικόν <τι> τῶν παθῶν εἴτε ὅπως φίλον κατονομάζειν τὰ τοιαῦτα· ἀλλ᾽ ἀποδῶμεν αὐτοῖς ἣν ὁ χρόνος ἀπέδωκε [b] τάξιν, εὐχαριστήσαντες τοῖς πάντα ἀγαθοῖς θεοῖς, οἳ τέως μὲν γράφειν ἐμοὶ συνεχώρησαν, ἴσως δὲ ἡμῖν καὶ ἀλλήλους ἰδεῖν συγχωρήσουσιν. Ὡς πρῶτον αὐτοκράτωρ ἐγενόμην ἄκων, ὡς ἴσασιν οἱ θεοί (καὶ τοῦτο † αὐτοῖς εἰ † καταφανὲς ὃν ἐνεδέχετο τρόπον ἐποίησα), στρατεύσας ἐπὶ τοὺς βαρβάρους, ἐκείνης μοι γενομένης τριμήνου τῆς στρατιᾶς, ἐπανιὼν εἰς τοὺς Γαλατικοὺς αἰγιαλοὺς ἀπεσκόπουν καὶ τῶν [c] ἐκεῖθεν ἡκόντων ἀνεπυνθανόμην μή τις φιλόσοφος, μή τις σχολαστικὸς ἢ τριβώνιον ἢ χλανίδιον φορῶν κατῆρεν. Ἐπεὶ δὲ περὶ τὸν Βισεντίωνα (πολίχνη δέ ἐστι νῦν ἀνειλημμένη, πάλαι δὲ μεγάλη τε ἦν καὶ πολυτελέσιν ἱεροῖς ἐκεκόσμητο, καὶ τείχει καρτερᾷ καὶ προσέτι τῇ φύσει τοῦ χωρίου· περιθεῖ γὰρ αὐτὸ ὁ Δοῦβις ποταμός, ἡ δὲ ὥσπερ ἐν θαλάττῃ πετρώδης ἄκρα ἀνέστηκεν, ἄβατος ὀλίγου δέω φάναι καὶ αὐτοῖς ὄρνισιν, πλὴν ὅσα ὁ ποταμὸς αὐτὴν περιρρέων ὥσ- [d] περ τινὰς αἰγιαλοὺς ἔχει προκειμένους), ταύτης πλησίον τῆς πόλεως ἀπήντησε Κυνικός τις ἀνήρ, ἔχων τρίβωνα καὶ βακτηρίαν· τοῦτον πόρρωθεν θεασάμενος, οὐδένα ἄλλον ὑπέλαβον ἢ σέ. Πλησίον δὲ ἤδη προσιών, παρὰ σοῦ πάντως

5 sq. cf. Iulian. 284 CD || 16 sq. cf. Iulian. 73 A.

C XY [in Y plurima desunt] = d

1 ψυχικόν <τι> τῶν παθῶν P. Thomas : ψυχικῶν παθῶν d ψυχρὸν τῶν παθῶν C || 2 ἀλλ᾽ ἀποδῶμεν — 20 βακτηρίαν om. Y || 3 τοῖς πάντα ἀγαθοῖς θεοῖς Ald. : τοῖς πάντα ἀγαθοῖς C τοῖς θεοῖς X || 5 6 ἄκων ἐγενόμην transp. C || 6 αὐτοῖς εἰ codd. : an αὐτόθι? vel αὐτός σοι? <τοῖς> ἀνθρώποις (cf. p. 25, 24) P. Thomas : εἰ secluserant Ald. et edd., unde αὐτὸς coni. Naber || 8 στρατείας Hertlein || 9 ἐπεσκόπουν C || 11 χλαμίδιον X : de Maximi habitu et veste cf. Eunap. *l. l.* p. 477, 34 sq. || 12 βισεντίωνα X : βικεντίωνα C || πολίχνιον C || ἐστι νῦν X : νῦν ἐστιν C || 13 πάλαι — 19 πόλεως om. X || 14 καὶ[1] om. Ald. || καρτερᾷ Reiske : καρτερῷ cod. || 15 δάβις cod., corr. Heyler || 20 οὐδένα ἄλλον d : οὐδὲν ἄλλο C, quod defendebat Hertlein (cf. infra p. 245, 16) || 21 προσιὼν (vel potius προσιόντα) Reiske : προσῶν d προιὼν C

ἥκειν αὐτὸν ἐνόμιζον· ὤφθη δὲ ἀνὴρ φίλος μέν, ἥττων δὲ
τῆς προσδοκωμένης ἐλπίδος. Ἓν μὲν δὴ τοιοῦτον ὄναρ ἐγέ-
415 νετό μοι· μετὰ τοῦτο δὲ πάντως ᾤμην σε πολυπραγμονή-
σαντα τὰ κατ' ἐμὲ τῆς Ἑλλάδος ἐκτὸς οὐδαμῶς εὑρήσειν.
Ἴστω Ζεύς, ἴστω μέγας Ἥλιος, ἴστω Ἀθηνᾶς κράτος καὶ
πάντες θεοὶ καὶ πᾶσαι πῶς, κατιὼν ἐπὶ τοὺς Ἰλλυριοὺς
ἀπὸ τῶν Κελτῶν, ἔτρεμον ὑπὲρ σοῦ, καὶ ἐπυνθανόμην τῶν
θεῶν, αὐτὸς μὲν οὐ τολμῶν (οὐ γὰρ ὑπέμενον οὔτε ἰδεῖν
τοιοῦτον οὔτε ἀκοῦσαι οὐδέν, οἷον ἄν τις ὑπέλαβε δύνασθαι
b τὸ τηνικαῦτα περὶ σὲ γίγνεσθαι), ἐπέτρεπον δὲ ἄλλοις· οἱ
θεοὶ δὲ ταραχὰς μέν τινας ἔσεσθαι περὶ σὲ φανερῶς ἐδή-
λουν, οὐθὲν μέντοι δεινὸν οὐδὲ εἰς ἔργον τῶν ἀθέσμων
βουλευμάτων.

Ἀλλ' ὁρᾷς ὅτι μεγάλα καὶ πολλὰ παρέδραμον, <ἃ> μά-
λιστά σε πυθέσθαι ἄξιον· πῶς μὲν ἀθρόως τῆς ἐπιφανείας
ᾐσθόμεθα τῶν θεῶν, τίνα δὲ τρόπον τὸ τοσοῦτον τῶν ἐπι-
βούλων πλῆθος διαπεφεύγαμεν, κτείναντες οὐδένα, χρήματα
c οὐδενὸς ἀφελόμενοι, φυλαξάμενοι δὲ μόνον οὓς ἐλαμβάνομεν
ἐπ' αὐτοφώρῳ· ταῦτα μὲν οὖν ἴσως οὐ γράφειν, ἀλλὰ φράζειν
χρή, οἶμαι δέ σε καὶ μάλα ἡδέως πεύσεσθαι. Θρησκεύομεν
τοὺς θεοὺς ἀναφανδὸν καὶ τὸ πλῆθος τοῦ συγκατελθόντος
μοι στρατοπέδου θεοσεβές ἐστιν· ἡμεῖς φανερῶς βουθυτοῦ-
μεν· ἀπεδώκαμεν τοῖς θεοῖς χαριστήρια περὶ ἡμῶν ἑκατόμ-
βας πολλάς· ἐμὲ κελεύουσιν οἱ θεοὶ τὰ πάντα ἁγνεύειν
d εἰς δύναμιν, καὶ πείθομαί γε προθύμως αὐτοῖς· μεγάλους

C XY [in Y plurima desunt] = d

1 ὤφθη δὲ d : οὗτος δ' C || ἧττον C || **3** μετὰ — **19** αὐτοφώρῳ om. Y || **3** τοῦτο X : τοῦτον C || πάντως om. C || **4** εὑρήσειν X : εὑρεθῆναι C || **5** ἴστω μέγας — **6** πᾶσαι om. X || **9** οὔτε Ald. : οὐδὲ codd. || **10** τὸ X : om. C || γίνεσθαι X || **12** εἰς ἔργον <ἦξον> vel <προχωρῆσον> P. Thomas || **14** ἃ supplevit corrector in X : <ὧν> Hertlein || **15** ἀθρόον X || **18** φυλαξάμενοι — **19** αὐτοφώρῳ om. X || **19** οὖν om. d || **20** χρῆν Reiske || οἶμαι — p. **33**, **4** θεοῦ om. Y || **20** πεύσεσθαι Martinius : πεύθεσθαι C πυθέσθαι, εύ supra υ scripto, X || θρησκεύομεν — p. **33**, **4** θεοῦ om. X

καρποὺς τῶν πόνων ἀποδώσειν φασίν, ἢν μὴ ῥᾳθυμῶμεν.

Ἦλθε πρὸς ἡμᾶς Εὐάγριος.......................
....
τοῦ παρ' ἡμῖν τιμωμένου θεοῦ..........

Πολλὰ γοῦν ἐπέρχεταί μοι πρὸς τούτοις, ἀλλὰ χρὴ ταμιεύσασθαί τινα καὶ τῇ παρουσίᾳ τῇ σῇ. Δεῦρο οὖν, τοὺς θεούς σοι, τὴν ταχίστην, εἴτε δύο εἴτε πλείοσι χρησάμενος ὀχήμασιν. Ἀπέστειλα δὲ καὶ δύο τῶν πιστοτάτων ὑπηρετῶν, ὧν ὁ μὲν εἷς ἄχρι τοῦ στρατοπέδου παραπέμψει σε, ἕτερος δὲ ἐξεληλυθέναι σε καὶ ἥκειν ἤδη μηνύσει· πότερον δὲ ὑπὸ ποτέρου γενέσθαι θέλεις, αὐτὸς τοῖς νεανίσκοις σήμηνον.

27

Ad Chrysanthium et Maximum.

Eunap., *Vit. Soph.*, p. 476, 38 : Ὡς δ' οὖν καθεῖλε (scil. ὁ Ἰουλιανὸς) τὴν τυραννίδα Κωνσταντίου καὶ τὸν ἱεροφάντην ἀπέπεμψεν ἐπὶ τὴν Ἑλλάδα... τὸν Μάξιμον εὐθὺς μετεπέμψατο καὶ τὸν Χρυσάνθιον· καὶ μία γε ἦν ἐπ' ἀμφοῖν ἡ κλῆσις.

Ibid., p. 501, 5 : Οὕτω γοῦν καὶ ἡνίκα ὁ βασιλεὺς Ἰουλιανὸς ἄμφω μετεκάλει διὰ μιᾶς κλήσεως καὶ οἱ πεμφθέντες στρατιῶται μετὰ τιμῆς τὴν Θετταλικὴν ἐπῆγον πειθανάγκην. . . τοῦ θεοῦ τὴν ὁδὸν ἀπαγορεύσαντος. . . ὁ δὲ Χρυσάνθιος ἔμεινε κατὰ χώραν.

---

28 [ep. 13].

Iuliano, matris suae Basilinae fratri, qui postea comes Orientis factus est (*Misop.*, 365 C ; cf. ep. 80), scribit Iulia-

[1-4] C [5-12] XY

2 post Εὐάγριος praebet cod. (scil. C) spatium vacuum trium fere versuum (= circa LXXXII litterarum), quod verbis τοῦ παρ' ἡμῖν τιμωμένου θεοῦ clauditur ; sequentia desunt in C ; itaque quot verba post θεοῦ interciderint, incertum ‖ **5** Πολλὰ — **12** σήμηνον e codd. XY (Y usque ad **10** μηνύσει) restituimus ‖ **5** λέγειν post τούτοις add. Y ‖ **6/7** τοὺς θεούς σοι om. Y : cf. Eunap. *Vit. Soph.* 470, 22 et *Anacreontea* 8, 1 sq. ‖ **8/9** ὑπηρετῶν X : οἰκετῶν Y ‖ **10** πότερον — **12** σήμηνον om. Y

nus. paulo postquam Naïssi in Moesia mortem Constantii, qui die 3 Novembris a. 361 Mopsucrenis obierat, comperit (Ammian. Marc., XXII, 2; Zosim., III, 11, 2). Itaque circa kal. Decembr. a. 361, antequam advenit Constantinopolim (d. 11 Dec.), hanc epistulam avunculo misit, qui rebellionem adversus Constantium factam improbasse videtur.

382 Ἰουλιανὸς Ἰουλιανῷ θείῳ.

Τρίτης ὥρας νυκτὸς ἀρχομένης, οὐκ ἔχων οὐδὲ τὸν ὑπο-
b γράφοντα διὰ τὸ πάντας ἀσχόλους εἶναι, μόλις ἴσχυσα πρός σε ταῦτα γράψαι. Ζῶμεν διὰ τοὺς θεοὺς ἐλευθερωθέντες τοῦ παθεῖν ἢ δρᾶσαι τὰ ἀνήκεστα· μάρτυς δὲ ὁ Ἥλιος, ὃν μάλιστα πάντων ἱκέτευσα συνάρασθαί μοι, καὶ ὁ βασιλεὺς Ζεύς, ὡς οὐπώποτε ηὐξάμην ἀποκτεῖναι Κωνστάντιον, μᾶλλον δὲ ἀπηυξάμην. Τί οὖν ἦλθον; ἐπειδή μοι οἱ θεοὶ
c διαρρήδην ἐκέλευσαν, σωτηρίαν μὲν ἐπαγγελλόμενοι πειθομένῳ, μένοντι δὲ ὃ μηδεὶς θεῶν ποιήσειεν· ἄλλως τε ὅτι καὶ πολέμιος ἀποδειχθεὶς ᾤμην φοβῆσαι μόνον καὶ εἰς ὁμιλίας ἥξειν ἐπιεικεστέρας τὰ πράγματα, εἰ δὲ μάχῃ κριθείη, τῇ Τύχῃ τὰ πάντα καὶ τοῖς θεοῖς ἐπιτρέψας περιμένειν ὅπερ ἂν αὐτῶν τῇ φιλανθρωπίᾳ δόξῃ.

---

29 [ep. 69].

Has litterulas iisdem fere diebus atque ep. 28 (cf. supra v. 10) scripsit novus imperator, paulo postquam, mortis Constantii certior factus, Constantinopolim petiit (d. 11 Dec. a. 361). Eutherius sine dubio spado est ille qui sub Iuliano Caesare praepositus sacri cubiculi fuerat (Ammian. Marc., XVI, 7, 2 sq.). Ad litteras Iuliani Constantio deferendas a.

V X A [7—13]

7 sic V: ἰουλιανῷ θείῳ αὐτοῦ X πρὸς ἰουλιανὸν θεῖον A || **8** οὐδὲ: οὔτε A || **8/9** γράφοντα A; ὑπογράφοντα malit Hertlein || **9/10** πρός σε post γράψαι transp. A || **11** ἢ om. A | δὲ: δέ μοι A || **12** καὶ — **13** Κωνστάντιον: καὶ ζεὺς ὁ βασίλειος ὡς οὐδέποτε εὐξάμην κωνστάντιον ἀποκτεῖναι A in quo sequentia desunt || **14** ἦλθον om. X || **15/16** πειθομένῳ: κινουμένω, duobus punctis supra scriptis, X || **16** [ὅτι] vel ἄλλως τε < καὶ > ὅτε Hercher || **17** φοβήσειν? Petau

360 electus erat (supra p. 23, 19). « *adscitusque postea in palatium,... subinde Romam secedens* », post Iuliani mortem ibi consenuit (Ammian. Marc., XVI, 7, 6 sq.).

Ἰουλιανὸς Εὐθηρίῳ.

Ζῶμεν ὑπὸ τῶν θεῶν σωθέντες· ὑπὲρ ἐμοῦ δὲ αὐτοῖς θῦε τὰ χαριστήρια· θύσεις δὲ οὐχ ὑπὲρ ἑνὸς ἀνδρός, ἀλλ' ὑπὲρ τοῦ κοινοῦ τῶν Ἑλλήνων. Εἰ δέ σοι σχολὴ καὶ μέχρι τῆς Κωνσταντίνου πόλεως διαβῆναι, τιμησαίμην ἂν οὐκ ὀλίγου τὴν σὴν ἐντυχίαν.

---

30 [ep. 3*].

Hanc epistulam, qua Iulianus sibi gratulatur quod Theodorus incolumis sit (v. 18 sq.; cf. p. 41, 1 sq.), post Constantii mortem scriptam esse pro certo dare nolumus. Hic enim (p. 37, 24; cf. p. 16, 23) divinam providentiam, non deos, invocat. — Theodorum ἀρχιερέα editor antiquus cognominavit, quia a Iuliano sacerdos Asiae factus est (cf. p. 124, 20 sq.).

Θεοδώρῳ ἀρχιερεῖ.

Δεξάμενός σου τὴν ἐπιστολὴν ἥσθην μέν, ὡς εἰκός· τί γὰρ οὐκ ἔμελλον, ἄνδρα ἑταῖρον ἐμοὶ καὶ φίλων φίλτατον σῶν εἶναι πυνθανόμενος; ὡς δὲ καὶ ἀφελὼν τὸν ἐπικείμενον δεσμὸν ἐπῄειν πολλάκις, οὐκ ἂν ἐγὼ παραστῆσαι τῷ λόγῳ δυναίμην τίς καὶ ὁποῖος ἐγενόμην· γαλήνης ἐμπιπλάμενος καὶ θυμηδίας, ὥσπερ εἰκόνα τινὰ τοῦ γενναίου σου καθορῶν τρόπου, τὴν ἐπιστολὴν ἠσπαζόμην. Ὑπὲρ ἧς τὰ μὲν καθ' ἕκαστα γράφειν μακρὸν ἂν εἴη καὶ περιττῆς ἴσως ἀδολεσχίας οὐκ ἔξω· ἃ δ' οὖν ἐπῄνεσα διαφερόντως, ταῦτα εἰπεῖν οὐκ ἂν ὀκνήσαιμι· πρῶτον μέν, ὅτι τὴν παροινίαν, ἣν εἰς ἡμᾶς ὁ τῆς Ἑλλάδος ἡγεμὼν πεπαρῴνηκεν (εἴ γε τὸν

---

*27 τὴν παροινίαν — p. 36, 10 Νέρων Suidas *s. v.* Μουσώνιος.

[4—9] L — [17 sq.] XY

8 ὀλίγου Reiske : ὀλίγον cod.

24 Ὑπὲρ ἧς om. Y || 26 ἃ δ' οὖν — p. 36, 7 ὅτι om. Y || 28 ἡμᾶς cod. et Suidas : ὑμᾶς P. Maas, qui ep. 198 (cf. p. 267) Theodoro tribuit || 28 εἴ γε — p. 36, 1 τύραννον om. Suidas

τοιοῦτον ἡγεμόνα χρὴ καλεῖν ἀλλὰ μὴ τύραννον), οὗτοι βαρέως ἤνεγκας, οὐδὲν ἡγούμενος τούτων εἰς σὲ γεγονέναι· τό γε μὴν τῇ πόλει βοηθεῖν ἐκείνῃ βούλεσθαι καὶ προθυμεῖσθαι, περὶ ἣν ἐποιήσω τὰς διατριβάς, ἐναργές ἐστι φιλοσόφου γνώμης τεκμήριον, ὥστε μοι δοκεῖ τὸ μὲν πρότερον Σωκράτει προσήκειν, τὸ δεύτερον δέ, οἶμαι, Μουσωνίῳ· ἐκεῖνος μὲν γὰρ ἔφη ὅτι μὴ θεμιτὸν ἄνδρα σπουδαῖον πρός του τῶν χειρόνων καὶ φαύλων βλαβῆναι, ὁ δὲ ἐπεμέλετο Γυάρων, ὁπηνίκα φεύγειν αὐτὸν ἐπέταττε Νέρων.

Ταῦτα ἐγὼ τῆς ἐπιστολῆς τῆς σῆς ἐπαινέσας, τὸ τρίτον οὐκ οἶδα ὅντινα τρόπον ἀποδέξασθαι· γράφεις γὰρ κελεύων σημαίνειν ὅ τι ἄν μοι παρὰ μέλος πράττειν αὐτὸς ἢ λέγειν δοκῇς. Ἐγὼ δέ, ὅτι μὲν πλέον ἐμαυτῷ νῦν ἢ σοὶ τῶν τοιούτων δεῖν ὑπολαμβάνω παραινέσεων, πολλὰ ἔχων εἰπεῖν, ἐς αὖθις ἀναβαλοῦμαι. Τὸ μὲν οὖν αἴτημα τυχὸν οὐδὲ σοὶ προσήκει· περίεστι γάρ σοι καὶ σχολή, καὶ φύσεως ἔχεις εὖ, καὶ φιλοσοφίας ἐρᾷς, εἴπερ τις ἄλλος τῶν πώποτε, τρία δὲ ἅμα ταῦτα ξυνελθόντα ἤρκεσεν ἀποφῆναι τὸν Ἀμφίονα τῆς παλαιᾶς μουσικῆς εὑρετήν, χρόνος, θεῶν πνεῦμα

---

7 sq. Plat. *Apol.* 30 D; cf. Iulian. 69 B || 9 sq. cf. Philostrat. *Vit. Apollon.* VII 16, 2 || 20 sq. Euripid. *Fr.* 192; cf. Philostr. *Vit. Apollon.* VII 34.

*8/9 ὁ δὲ ἐπεμέλετο βαρῶν Suidas *s. v.* Βάρεις || 17 περίεστι — p. 37, 9 δεόμενοι Suidas *s. v.* Ἀμφίων.

XY [in Y multa desunt]

1/2 οὗτοι βαρέως Hercher : οὕτω βαθέως cod. et Suidas (« nova et exquisita ratione dictum » Bernhardy) οὕτω σταθερῶς Weil; an οὕτω ῥᾳδίως? || 4 ἐναργές — 5 γνώμης : φιλοσόφου ψυχῆς ἐστι Suidas || 8 ὁ δὲ — 14 δοκῇς om. Y || 9 γυάρων cod. : βαρῶν (τουτέστι τειχῶν· βάρεις γὰρ τὰ τείχη) Suidas, unde < τῶν > βάρεων Hercher; cf. Hense *Muson. rel.*, p. XXX || 14 δοκεῖς cod., corr. Papadopoulos || 16/17 Τὸ μὲν — προσήκει om. Y || 20 θεῶν πνεῦμα scripsimus : θεοῦ πνεῦμα Suidas πνεῦμα θεῶν codd. καὶ θεῶν πνεῦμα Philostr. θεοῦ (vel θεῶν?) τε πνεῦμ' Küster, senarium Euripidis efficere conatus

ἔρως τε ὑμνῳδίας. Οὐδὲ γὰρ ἡ τῶν ὀργάνων ἔνδεια πρὸς ταῦτα πέφυκεν ἀντιτάττεσθαι, καὶ ταῦτα ῥᾳδίως ἂν ὁ τῶν τριῶν τούτων μέτοχος ἐξεύροι· ἢ γὰρ οὐχὶ τοῦτον αὐτὸν ἀκοῇ παραδεδέγμεθα οὐ τὰς ἁρμονίας μόνον, αὐτὴν δὲ ἐπ᾽ αὐταῖς ἐξευρεῖν τὴν λύραν, εἴτε δαιμονιωτέρᾳ χρησάμενον ἐπινοίᾳ, εἴτε τινὶ θείᾳ δόσει, <εἴτε> διά τινα συντυχίαν ἀμήχανον ; Καὶ τῶν παλαιῶν οἱ πλεῖστοι τοῖς τρισὶ τούτοις ἐοίκασι μάλιστα προσχόντες οὔτι πλαστῶς φιλοσοφῆσαι, οὐδενὸς ἄλλου δεόμενοι.

Χρὴ οὖν σε παρίστασθαι καὶ διὰ τῶν ἐπιστολῶν τὰ πρακτέα καὶ τὰ μὴ παραινεῖν προθύμως· ὁρῶμεν γὰρ καὶ τῶν στρατευομένων οὐ τοὺς εἰρηνεύοντας συμμαχίας δεομένους, τοὺς πονουμένους δέ, οἶμαι, τῷ πολέμῳ, καὶ τῶν κυβερνητῶν οὐχ οἱ μὴ πλέοντες τοὺς πλέοντας παρακαλοῦσιν, οἱ ναυτιλλόμενοι δὲ τοὺς σχολὴν ἄγοντας. Οὕτως ἐξ ἀρχῆς δίκαιον ἐφάνη τοὺς σχολὴν ἄγοντας τοῖς ἐπὶ τῶν ἔργων ἀμύνειν καὶ παρεστάναι καὶ τὸ πρακτέον ὑφηγεῖσθαι, ἐπειδάν, οἶμαι, τὰ αὐτὰ πρεσβεύωσι. Ταῦτα διανοούμενόν σε προσήκει τοὔθ᾽, ὅπερ ἀξιοῖς παρ᾽ ἡμῶν εἰς σὲ γίνεσθαι, δρᾶν· καί, εἴ σοι φίλον, ταυτὶ ξυνθώμεθα, ἵν᾽ ἐγὼ μέν, ὅ τι ἄν μοι φαίνηται περὶ τῶν σῶν ἁπάντων, πρός σε σημαίνω, σὺ δὲ αὖθις πρός με περὶ τῶν ἐμῶν λόγων καὶ πράξεων· ταύτης γάρ, οἶμαι, τῆς ἀμοιβῆς οὐδὲν ἂν ἡμῖν γένοιτο κάλλιον.

Ἐρρωμένον σε ἡ θεία πρόνοια διαφυλάξοι πολλοῖς χρόνοις, ἀδελφὲ ποθεινότατε· ἴδοιμί σε διὰ ταχέων, ὡς εὔχομαι.

---

8 cf. Plat. *Leg.* 642 CD et Iulian. 82 B et 92 B.

[1—9] Suidas [1 et 10 sq.] XY

1 τε om. Suidas (cf. Philostr. : καὶ σοφίας ἔρως) ; ἔρως θ᾽ ὑμνῳδίας Küster ‖ 1 Οὐδὲ γὰρ — 9 δεόμενοι om. codd., e Suida restituimus 2 < ἀλλὰ > καὶ ταῦτα Bekker ‖ 3 ἦ γὰρ Hertlein ‖ 6 an ἐπιπνοίᾳ? ‖ < εἴτε > P. Thomas ‖ συντυχίαν revera praebent Suidae codd. ‖ 8 προσχόντεσ Suidae codd. : προσσχόντες Bernhardy ‖ 11 παραινεῖν < ἡμῖν > Bücheler ‖ 20 ἵν᾽ ἐγὼ — 22 πράξεων om. Y ‖ 21 σημαίνω Weil : ἐμμένω cod, ; cf. p. 36, 13

31 [ep. 2].

Scripta fuit haec epistula ad Prohaeresium sophistam Christianum, qui Athenis degebat, hieme a. 361-362, postquam Iulianus e Galliis in Thraciam et loca Graeciae vicina rediit (cf. v. 19 sq.) et litteras ad civitates (cf. v. 21) misit, quibus causas susceptarum cum Constantio simultatum exposuerat; accepit eam Prohaeresius antequam ep. 61 commotus docendi munus deposuit (cf. Eunap., *Vit. Soph.*, p. 493, 25 sq.; Hieronym., infra p. 69, 15 sq.).

373 d Προαιρεσίῳ σοφιστῇ.

Τί δὲ οὐκ ἔμελλον ἐγὼ Προαιρέσιον τὸν καλὸν προσαγορεύειν, ἄνδρα τοὺς λόγους ἐφιέντα καθάπερ οἱ ποταμοὶ τοῖς πεδίοις ἐπαφιᾶσι τὰ ῥεύματα, καὶ ζηλοῦντα τὸν Περι-
374 κλέα κατὰ τοὺς λόγους ἔξω τοῦ ξυνταράττειν καὶ ξυγκυκᾶν τὴν Ἑλλάδα; Θαυμάζειν δὲ οὐ χρὴ τὴν Λακωνικὴν εἰ πρός σε βραχυλογίαν μιμησαίμην· ὑμῖν μὲν γὰρ πρέπει τοῖς σοφοῖς μακροὺς πάνυ καὶ μεγάλους ποιεῖσθαι τοὺς λόγους, ἡμῖν δὲ ἀρκεῖ καὶ τὰ βραχέα πρὸς ὑμᾶς. Ἴσθι δῆτά μοι πολλὰ πανταχόθεν κύκλῳ πράγματα ἐπιρρεῖν. Τῆς δὲ καθόδου τὰς αἰτίας, εἰ μὲν ἱστορίας γράφεις, ἀκριβέστατα πάντα ἀπαγγελῶ σοι, δοὺς τὰς ἐπιστολὰς ἀποδείξεις ἐγγρά-
b φους· εἰ δὲ ἔγνωκας τοῖς γυμνάσμασι καὶ ταῖς μελέταις εἰς τέλος ἄχρι γήρως προσκαρτερεῖν, οὐδὲν ἴσως μου τῇ σιωπῇ μέμψῃ.

---

14 sq. Aristophan. *Acharn.* 530 sq.

BΔ = r   NO = b   XY [Y desinit **19** ἐπιρρεῖν] = d

10 σοφιστῇ om. bY || **12** τοὺς λόγους ἐφιέντα (ἀφιέντα Y) καθάπερ d : ἐφιέντα τοῖς λόγοις ὥσπερ rb, unde ἐπαφιέντα τοῖς < νέοις > λόγους ὥσπερ Reiske || **13** ἐπαφιᾶσι : ἐφ' ἅπασι b || καὶ om. r || **14** συνταράττειν b || **16** μὲν om. b || **17** πάνυ om. b || τοὺς d : om. rb || **18** δῆτά μοι b : δή μοι τα r δή μοι d || **19** ἐπιρρεῖ d || δὲ X : om. rb || **20** ἱστορίαν Ald. || γράφοις N γράψεις Cobet || **21** πάντα om. b || καὶ ante ἀποδείξεις add. r; an ὡς ἀποδείξεις ? || **22** ταῖς μελέταις καὶ τοῖς γυμνάσμασιν transp. b || γυμνάσασι X || **23** τὴν σιωπὴν b

32 [ep. 12].

Benedictini editores opinantur (*Basilii op.*, t. III, p. 122, adn. *c*; cf. *ibid.*, p. LXI) « non ad Basilium » (Caesareae episcopum) scriptam esse hanc epistulam, « sed ad hominem aulae vitia hactenus... expertum (v. 24 sq.), quod de Basilio (Magno) dici omnino non potest ». Quod si verum est, de alio quodam Basilio agitur, nisi forte nomen corruptum est. Utut hoc se habet, certe scriptae sunt hae litterae a Iuliano iam imperium adepto (p. 40, 7 sq.), Constantinopoli, ut videtur, hieme a. 361-362; nam illud solum fere tempus fuit quo de otio loqui potuit (v. 22 sq.). — Ad Basilium Magnum revera missam esse hanc epistulam putat J. Geffcken (*Kaiser Julianus*, p. 101, 19 sq. cum adnot.)

Τῷ μεγάλῳ Βασιλείῳ. 381

Ἡ μὲν παροιμία φησίν· οὐ πόλεμον ἀγγέλλεις, ἐγὼ δὲ προσθείην ἐκ τῆς κωμῳδίας· ὦ χρυσὸν ἀγγείλας ἐπῶν. Ἴθι οὖν ἔργοις αὐτὸ δεῖξον καὶ σπεῦδε παρ᾽ ἡμᾶς· ἀφίξῃ γὰρ φίλος παρὰ φίλῳ. Ἡ δὲ περὶ τὰ πράγματα κοινὴ καὶ b
συνεχὴς ἀσχολία δοκεῖ μὲν εἶναί πως τοῖς μὴ πάρεργον αὐτὸ ποιοῦσιν ἐπαχθής, οἱ δὲ τῆς ἐπιμελείας κοινωνοῦντές εἰσιν ἐπιεικεῖς, ὡς ἐμαυτὸν πείθω, καὶ συνετοὶ καὶ πάντες ἱκανοὶ πρὸς πάντα· διδοῦσιν οὖν μοι ῥαστώνην, ὥστε ἐξεῖναι μηθὲν ὀλιγωροῦντι καὶ ἀναπαύεσθαι· σύνεσμεν γὰρ ἀλλήλοις οὐ μετὰ τῆς αὐλικῆς ὑποκρίσεως (ἧς μόνης οἶμαί σε μέχρι τοῦ δεῦρο πεπειρᾶσθαι), καθ᾽ ἣν ἐπαινοῦντες μισοῦσι c

15 cf. Plat. *Leg.* 702 D; *Phaedr.* 242 B. Apostol. *Cent.* XIII 75 || **16** Aristophan. *Plut.* 268 || **17** sq. cf. Plat. *Menexen.* 247 B.
*****16** Stephan. *In rhetoric.* I 2, p. 1404b 18 = CAG XXI *pars* II p. 312, 11 sq.

NO

14 τῷ μεγάλω βασιλείω codd.; Βασιλείῳ Ald.; cf. Stephan. *l. l.*: τὸ τοῦ Ἰουλιανοῦ πρὸς τὸν μέγαν Βασίλειον || **15** ἀγγέλλεις Ald.: ἀγγέλεις codd. || **16** χρυσὸν O: χρυσῶν N || **18** παρὰ φίλον Ald. || **21** πάντως Martinius || **22** δίδωσιν codd.: « διδόασι vel διδοῦσιν » Heyler || **24** ἧς μόνης Reiske et Heyler: μόνης ἧς transp. codd.

τηλικοῦτον μῖσος ἡλίκον οὐδὲ τοὺς πολεμιωτάτους· ἀλλὰ μετὰ τῆς προσηκούσης ἀλλήλοις ἐλευθερίας ἐξελέγχοντές τε, ὅταν δέῃ, καὶ ἐπιτιμῶντες, οὐκ ἔλαττον φιλοῦμεν ἀλλήλους τῶν σφόδρα ἑταίρων. Ἔνθεν ἔξεστιν ἡμῖν (ἀπείη δὲ φθόνος) ἀνειμένοις τε σπουδάζειν καὶ σπουδάζουσι μὴ
d ταλαιπωρεῖσθαι, καθεύδειν δὲ ἀδεῶς, ἐπεὶ καὶ ἐγρηγορὼς οὐχ ὑπὲρ ἑαυτοῦ μᾶλλον ἢ καὶ ὑπὲρ τῶν ἄλλων ἁπάντων, ὡς εἰκός, ἐγρήγορα.

Ταῦτα ἴσως κατηδολέσχησά σου καὶ κατελήρησα, παθών τι βλακῶδες· ἐπῄνεσα γὰρ ἐμαυτὸν ὥσπερ Ἀστυδάμας. Ἀλλ' ἵνα σε πείσω προὔργου τι μᾶλλον ἡμῖν τὴν σὴν παρουσίαν ἅτε ἀνδρὸς ἔμφρονος ποιήσειν ἢ παραιρήσεσθαί τι τοῦ και-
382 ροῦ, ταῦτα ἐπέστειλα. Σπεῦδε οὖν, ὅπερ ἔφην ἤδη, δημοσίῳ χρησάμενος δρόμῳ· συνδιατρίψας δὲ ἡμῖν ἐφ' ὅσον σοι φίλον, ᾗπερ ἂν θέλῃς ὑφ' ἡμῶν πεμπόμενος, ὡς προσῆκόν ἐστι, βαδιεῖ.

---

33 [ep. 23].

Hermogeni, qui ante a. 328 (cf. Pauly-Wissowa RE. *s. v.* Hermogenes, 13) praefectus Aegypti fuerat, haec epistula scripta est, paulo post mortem Constantii (cf. p. 41, 6 sq.), Constantinopoli ut videtur, anno 361 exeunte (cf. p. 41, 9, et Ammian. Marc., XXII, 2, 4 sq.).

389 d Ἰουλιανὸς Ἑρμογένει ἀπὸ ἐπάρχων Αἰγύπτου.

Δός μοί τι κατὰ τοὺς μελικτὰς εἰπεῖν ῥήτορας· ὢ παρ'

---

10 cf. infra p. 102, 6.
*9 κατηδολέσχησά σου Suidas *s. v.*

[1—16] NO — [23 sq.] V L NO=b E

7 ἑαυτοῦ codd. : ἐμαυτοῦ Hercher | ἢ [καὶ] Hercher || 11 προὔργου Ald. : προὖργον codd. || 14 χρησόμενος codd., corr. Hertlein || 15 οἵπερ Ald. || 16 βαδιεῖ Hercher et Cobet : βαδιῇ codd.

23 Ἰουλιανὸς VL om. bE | ἀπὸ ἐπάρχων : ἀπουπαρχ (sic) V om. LE || Αἰγύπτου om. LbE || 24 μελικτὰς Ald. : μελητας VL μέλητας E μελίτους N μελι dein spatium trium litterarum O || 24 sq. παρ' ἐλπίδας? Hertlein

ἐλπίδα σεσωσμένος ἐγώ, ὦ παρ᾽ ἐλπίδας ἀκηκοὼς ὅτι διαπέφευγας τὴν τρικέφαλον ὕδραν, οὔτι μὰ Δία τὸν ἀδελφόν φημι Κωνστάντιον (ἐκεῖνος μὲν ἦν οἷος ἦν), ἀλλὰ τὰ περὶ αὐτὸν θηρία πᾶσιν ἐποφθαλμιῶντα, ἃ κἀκεῖνον ἐποίει
χαλεπώτερον, οὐδὲ τὸ καθ᾽ ἑαυτὸν παντάπασι πρᾶον, εἰ καὶ 390
ἐδόκει πολλοῖς τοιοῦτος. Ἐκείνῳ μὲν οὖν, ἐπειδὴ μακαρίτης ἐγένετο, κούφη γῆ, καθάπερ λέγεται· τούτους δὲ ἀδίκως τι παθεῖν οὐκ ἂν ἐθέλοιμι, ἴστω Ζεύς· ἐπειδὴ δὲ αὐτοῖς ἐπανίστανται πολλοὶ κατήγοροι, δικαστήριον ἀποκεκλήρωται. Σὺ δέ, ὦ φίλε πάτερ, εἰ καὶ παρὰ δύναμιν, ἐπείχθητι· θεάσασθαι γάρ σε πάλαι τε ηὐχόμην νὴ τοὺς θεοὺς καὶ νῦν. b
ἀσμενέστατα ὅτι διεσώθης ἀκηκοώς, ἥκειν παρακελεύομαι.

34-36

Tres sequentes epistulae arcte inter se connectuntur. Prima Iulianus Eustathium Cappadocem arcessit, secunda hospiti aegrotanti abeundi dat facultatem, tertia Eustathius imperatori gratias agit quod sibi sine festinatione domum iter facere permiserit. Quo tempore princeps philosophum advocaverit vel dimiserit, ignoramus. Anno 361 exeunte simul cum Chrysanthio, Maximo et aliis philosophis eum accitum fuisse verisimile est (cf. Cumont, *Rev. instruction publ. Belg.*, XXXV, 1892, p. 1-3).

V L NO = b E

1/2 διαπέφευγας : δ᾽ ἀπέφευγας b || **2** τὴν — Δία : οὔτι (οὔτοι L) μὰ δία τὴν τρικέφαλον (πολυκέφαλον b) ὕδραν (ὕδραν om. E) οὐ codd., corr. Hertlein || **3** φημι : μοι b || ἐκεῖνος : ἀλλ᾽ ἐκεῖνος V || μὲν : μὲν οὖν L μὲν γὰρ E || **4** πᾶσιν ἐποφθαλμιῶντα om. E || **5** παντάπασι Hertlein : ὄντα πᾶσι VL ὄντα καὶ πᾶσι bE ὄντα πάνυ Horkel || **6** πολλοῖς ἐδόκει transp. E || τοιούτοις L || **7** < μέν > τι Reiske || **8** ἂν om. V || ἐπειδὴ : ἐπεὶ E || αὐτῶν L || **8 9** ἐπανίστανται αὐτοῖς transp. V || **9** εἰς τὸ ante δικαστήριον add. E || ἀποκεκλήρωται — **10** δύναμιν om. bE || **10** πέρ (i. e. πάτερ), εἰ V : πᾶτερ (sic) L || **11** σε om. E || πάλαι τε om. b || εὐχόμην E εὔχομαι V || **12** εὐμενέστατα VL b εὐμενέστατε E, corr. P. Thomas ; cf. p. 118, 3

34 [ep. 76].

Εὐσταθίῳ φιλοσόφῳ.

Μὴ λίαν ᾖ κοινὸν τὸ προοίμιον « τὸν ἐσθλὸν ἄνδρα », τὰ δὲ ἐφεξῆς οἶσθα δήπουθεν, ἀλλὰ καὶ ἔχεις· οἶσθα μὲν γὰρ ἅτε λόγιος ὢν καὶ φιλόσοφος τὸ ἑπόμενον αὐτῷ, ἐμὲ δὲ ἔχεις φίλον, εἴπερ οὖν ἄμφω ἐσθλοί ἐσμεν. Ὑπὲρ γὰρ σοῦ τοῦτο κἂν διατειναίμην, ὅτι τοιοῦτος εἶ, περὶ δὲ ἐμαυτοῦ σιωπῶ· γένοιτο δὲ τοὺς ἄλλους αἰσθέσθαι καὶ ἐμοῦ τοιούτου. Τί οὖν ὥσπερ ἄτοπόν τι λέγων κύκλῳ περίειμι, δέον εἰπεῖν· « ἧκε καὶ σπεῦδε καί, τὸ λεγόμενον, ἵπτασο » ; Πορεύσει δέ σε θεὸς εὐμενὴς μετὰ τῆς Ἐνοδίας παρθένου, καὶ ὑπουργήσει δρόμος δημόσιος ὀχήματι, βουλομένῳ χρήσασθαι, καὶ παρίπποις δυσίν.

415 d

35 [ep. 39].

Εὐσταθίῳ φιλοσόφῳ.

Χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν
416 Ὅμηρος ὁ σοφὸς ἐνομοθέτησεν· ἡμῖν δὲ ὑπάρχει πρὸς ἀλλήλους ξενικῆς φιλίας ἀμείνων ἥ τε διὰ τῆς ἐνδεχομένης παιδείας καὶ τῆς περὶ τοὺς θεοὺς εὐσεβείας, ὥστε οὐκ ἄν μέ τις ἐγράψατο δικαίως <ὡς> τὸν Ὁμήρου παραβαίνοντα νόμον, εἰ καὶ ἐπὶ πλεῖόν σε μένειν παρ' ἡμῖν ἠξίωσα. Ἀλλά σοι τὸ σωμάτιον ἰδὼν ἐπιμελείας πλείονος δεόμενον, ἐπέ-

---

3 et 5 cf. Euripid. *Fr.* 902 ¦ 6 cf. Plat. *Phaedr.* 255 B ¦ 9 sq. cf. Iulian. 174 D ‖ 16 Homer. ρ 74.

*3 sq. Eustath. *Iliad.* *K* 224, p. 800.

[2 — 13] Q — [15 sq.] C XY = d E

6/7 σοῦ τοῦτο κἂν Hercher : σεαυτοῦ οὐκ ἂν cod. ‖ 9 « malim λέξων » Hertlein ‖ <ἁπλῶς> εἰπεῖν P. Thomas

15 titulum om. C et Ald., ubi haec epistula vigesimam sextam (supra p. 30 sq.) sequitur ; inde titulum τῷ αὐτῷ, id est « Maximo », perperam supplevit Martinius ‖ 17 ἡμῶν E ¦ 18 τε Cd : γε E ‖ 20 <ὡς> Hertlein ‖ 21 ἀξιώσαιμι Cd ¦ 22 σοι : σοῦ (quod coniecerat Hercher) E ‖ καὶ ante πλείονος add. E ‖ πλέονος C

τρεψα βαδίζειν εἰς τὴν πατρίδα, καὶ ῥαστώνης ἐπεμελήθην b τῆς πορείας· ὀχήματι γοῦν ἔξεστί σοι δημοσίῳ χρήσασθαι. Πορεύοιεν δέ σε σὺν Ἀσκληπιῷ πάντες οἱ θεοὶ καὶ πάλιν ἡμῖν συντυχεῖν δοῖεν.

36 [ep. 72].

Ἰουλιανῷ Εὐστάθιος φιλόσοφος.

Ὡς ὤνησέ γε τὸ σύνθημα ἡμῖν μελλῆσαν· ἀντὶ γὰρ τοῦ τρέμειν καὶ δεδιέναι, φερόμενον ἐπὶ τῆς δημοσίας ἀπήνης καὶ περιπίπτοντα κραιπαλῶσιν ὀρεωκόμοις καὶ ἡμιόνοις ἀκοστώσαις καθ' Ὅμηρον δι' ἀργίαν τε καὶ πλησμονήν, καὶ ἀνέχεσθαι κονιορτοῦ καὶ φωνῆς ἀλλοκότου καὶ ψόφου μαστίγων, βαδίζειν ἐπὶ σχολῆς περιέστη μοι δι' ὁδοῦ συνηρεφοῦς καὶ ἐπισκίου, πολλὰς μὲν κρήνας, πολλὰς δὲ ἐχούσης καταγωγὰς ἐπιτηδείους τῇ ὥρᾳ μεταξὺ τὸν πόνον διαναπαύοντι, ἵνα ἄν μοι φανείη κατάλυσις εὔπνους τε καὶ ἀμφιλαφὴς ὑπὸ πλατάνοις ἢ κυπαρίττοις τισὶ τὸν Φαῖδρον ἐν χερσὶν ἔχοντι τὸν Μυρρινούσιον ἢ ἕτερόν τινα τῶν Πλάτωνος λόγων. Ταῦτά τοι, ὦ φίλη καὶ ἱερὰ κεφαλή, ἀπολαύων τῆς ἐλευθέρας ὁδοιπορίας, ἄτοπον ὑπέλαβον τὸ μὴ καὶ τοῦτο κοινώσασθαί σοι καὶ ἀποσημῆναι.

---

10 Homer. Z 506 et O 263 || **15** sq. Plat. *Phaedr.* 230 B.

*3 πορεύοιεν — **4** δοῖεν *Lexic. Vindob. s. v.* Πορεύω p. 145 Nauck || **9/10** ἀκοστώσαις ἡμιόνοις δι' ἀργίαν καὶ πλησμονήν Suidas *s. v.* Ἀκοστώσαις.

[**1—4**] C XY = d E — [**6** sq.] E ΓΘJK = f LX = g

1 ῥαστώνης C : ῥᾶστον dE | ἐπεμελήθης E || **3** οἱ om. Y et Lexic. Vindob.

6 λιβανίω σοφιστῆ καὶ κοιαίστωρι· ἰουλιανῶ εὐστάθιος φιλόσοφος E λιβανίω σοφιστῆ καὶ κοιαίστωρι f ἰουλιανός L τῶ αὐτῶ (scil. Λιβανίῳ) X : titulum ex E restituimus || **9** καὶ — κραιπαλῶσιν om. X || **10** τε om. f L et Suidas || **12** περιέστη E : περίεστί fg || **14/15** διαναπαύοντι τὸν πόνον transp. fg || **16** τισὶν ἢ κυπαρίττοις transp. fg || **16/17** ἔχοντι ἐν χερσὶ transp. fg || **17** τόν : ἢ τὸν E || ἑτερά τινα fg || **18** τοι Hertlein : σοι codd. || φίλη καὶ ἱερὰ E : φίλη fL πάντα θεία καὶ ἱερὰ X || **19** ἐλευθέρου L || **20** σοι E : τε fg

37

Ad Priscum, Chrysanthium et uxorem eius Meliten.

Sequentia ab ipso Chrysanthio acceperat Eunapius (*Vit. Soph.*, p. 500, 2 sq.). — Ex his apparet iterum (cf. supra p. 33) a Iuliano ad Chrysanthium missas esse litteras, postquam Maximus Ephesius ineunte a. 362 Constantinopolim ad Iulianum venerat: cf. Ammian. Marc., XXII, 7, 3.

Eunap., *Vit. Soph.*, p. 477, 37 (textum e cod. L restituimus): Μεταπέμψασθαι γοῦν αὐτοῖς (scil. Maximo et Iuliano), ἐκβιασαμένου τοῦ βασιλέως, ἔδοξε καὶ τὸν Πρίσκον· ὁ δὲ Μάξιμος ἀπῄτει προσαναγκάζων καὶ τὸν Χρυσάνθιον. Καὶ ἄμφω γε ἦσαν μετάπεμπτοι, ὁ μὲν Πρίσκος ἐκ τῆς Ἑλλάδος, Χρυσάνθιος δὲ ἀπὸ Λυδίας καὶ Σάρδεων. Καὶ οὕτω γε ἐξεκρέματο τῆς τοῦ ἀνδρὸς συνουσίας ὁ θεσπέσιος Ἰουλιανός, ὥστε τοῖς μὲν ὡς φίλοις ἐπέστελλεν, καθάπερ θεοὺς ἱκετεύων ἐλθεῖν καὶ συνεῖναι· τῷ δὲ Χρυσανθίῳ καὶ γυναῖκα εἶναι πυθόμενος, Μελίτην ὄνομα ἔχουσαν καὶ ὑφ' αὐτοῦ θαυμαζομένην διαφερόντως, τοῦ δὲ ταῦτα γράφοντος ἀνεψιάν, ἰδίᾳ που καθίσας ἑαυτὸν καὶ πρὸς τὴν γυναῖκα ἐπέστελλεν, αὐτὸς γράφων οὐδενὸς εἰδότος καὶ παντοίας ἀφιεὶς φωνάς, τὸν ἄνδρα πείθειν μηδαμῶς ἀπαγορεῦσαι τὴν ἔξοδον· καὶ τὴν πρὸς Χρυσάνθιον αἰτήσας ἐπιστολήν, εἶτα ἐμβαλὼν ἐκείνην καὶ σφραγῖδα ἀμφοτέραις ἐπιθείς, ὡς ἂν τὴν μίαν τοὺς ἄξοντας ἔστελλεν, πολλὰ καὶ ἀπὸ στόματος φράσας ἃ χρήσιμα ἐνόμιζε πρὸς τὸ ῥηιδίως πεπιθεῖν μεγάλας φρένας Αἰακίδαο [Homer. I 184]. ... ὁ δὲ Χρυσάνθιος οὐδὲ ταύταις ἑάλω ταῖς ἄρκυσιν καὶ μηχαναῖς, ἀλλὰ τοῖς θεοῖς ἐντυχών, ὡς τὰ παρὰ τῶν θεῶν ἦν ἀμετάβλητα (cf. supra p. 33), καὶ αὐτὸς εἵπετο τοῖς θεοῖς, καὶ πρὸς τὸν βασιλέα ἐπέστελλεν ὡς ὑπὲρ τοῦ βασιλέως ἡ κατὰ Λυδίαν [ὑπὲρ] αὐτοῦ γίνοιτο μονὴ (μόνον cod.) καὶ οἱ θεοὶ ταῦτα ἔφραζον. Ὁ δὲ ὑπώπτευσε μὲν τὴν ἀποτυχίαν τῆς κλήσεως, ἀρχιερέα δὲ ἀποδείξας τόν τε ἄνδρα καὶ τὴν γυναῖκα τῆς Λυδίας καὶ ὑπ' ἐκείνοις ἐπιτρέψας εἶναι τῶν ἄλλων τὴν αἵρεσιν, αὐτὸς ἐπὶ τὸν Περσικὸν συνήγετο πόλεμον.

Similia brevius narrat Eunapius, *ibid.*, p. 501, 23 sq.

38

Ad Himerium.

Himerius, *Orat.* V, 1: Ἐν Θεσσαλονίκῃ ταύτην διείλε-

κται (scil. ὁ Ἱμέριος), ὁπηνίκα κληθεὶς ὑπὸ τοῦ βασιλέως Ἰουλιανοῦ ἐπὶ τὴν Ἑῴαν ἠπείγετο.

Orat. VI, 1 : Ταύτην ἐν Φιλίπποις διείλεκται ἐξ αὐτοσχεδίου, ὅτε ἐπὶ τὸ στρατόπεδον ἀπῄει ὑπὸ βασιλέως κληθεὶς Ἰουλιανοῦ.

Orat. VII, 1 : Δεῖξαι λόγους ἐν Κωνσταντίνου πόλει προτραπείς, ὅτε εἰς τὸ τοῦ αὐτοκράτορος Ἰουλιανοῦ στρατόπεδον κληθεὶς ἐπορεύετο, εἶτα πρὸ τῆς ἐπιδείξεως τελεσθεὶς τὰ Μιθριακὰ μυστήρια, εἴς τε τὴν πόλιν καὶ τὸν βασιλέα τὸν καὶ τὴν τελετὴν ἱδρυσάμενον διείλεκται.

39

Ad Celsum.

Liban., *Orat.* XV, 51 : Βούλει με καλέσαι τούτου μάρτυρα τὸν (scil. Celsum) ὑπὸ σοῦ (scil. a Iuliano) πάλαι μὲν στεγῇ, μετὰ ταῦτα δὲ γράμμασι, τὰ τελευταῖα δὲ νῦν ἀρχῇ τετιμημένον ; Cf. Seeck, BLZG, p. 105.

---

40 [ep. 68].

Haec epistula scripta esse videtur Constantinopoli primo vere a. 362 (cf. p. 46, 13 sq.), cum Iulianus Cappadociam peragraturus erat (cf. p. 46, 17 sq.). De Philippo poeta Cappadoce, qui Iuliano imperante diis frequenter immolabat, cf. Liban., *Epist.* 1147 W., et Seeck, BLZG, p. 240.

Ἰουλιανὸς Φιλίππῳ.

Ἐγὼ νὴ τοὺς θεοὺς ἔτι Καῖσαρ ὢν ἐπέστειλά σοι, καὶ νομίζω πλέον ἢ ἅπαξ. Ὥρμησα μέντοι πολλάκις, ἀλλ' ἐκώλυσαν ἄλλοτε ἄλλαι προφάσεις, εἶτα ἡ γενομένη διὰ τὴν ἀνάρρησιν ἐμοί τε καὶ τῷ μακαρίτῃ Κωνσταντίῳ λυκοφιλία· παντάπασι γὰρ ἐφυλαττόμην ὑπὲρ τὰς Ἄλπεις ἐπιστεῖλαί τινι, μὴ πραγμάτων αὐτῷ χαλεπῶν αἴτιος γένωμαι. Τεκμήριον δὲ μὴ ποιοῦ τῆς εὐνοίας τὸ γράφειν· οὐ γὰρ ἐθέλει πολλάκις ὁμολογεῖν ἡ γλῶττα τῇ διανοίᾳ. Καὶ ἴσως ἔχει μέν τι πρὸς τὸ γαυριᾶν καὶ ἀλαζονεύεσθαι τοῖς ἰδιώταις ἡ τῶν

: L

30 μὴ ποιοῦ τῆς Reiske : μοι ποιοῦ τοῦτο cod. || 32 τι Reiske : τοι cod.

βασιλικῶν ἐπιστολῶν ἐπίδειξις, ὅταν πρὸς τοὺς ἀσυνήθεις, ὥσπερ δακτύλιοί τινες ὑπὸ τῶν ἀπειροκάλων φερόμενοι, κομίζωνται. Φιλία δὲ ἀληθινὴ γίνεται μάλιστα μὲν δι᾽ ὁμοιότητος, ἡ δευτέρα δέ, ὅταν τις ἀληθῶς, ἀλλὰ μὴ πλαστῶς θαυμάζῃ, καὶ παρὰ τοῦ τύχῃ καὶ συνέσει κρείττονος ὁ πρᾶος καὶ μέτριος καὶ σώφρων ἀγαπηθῇ.

Τὰ γραμματεῖα δὲ ταῦτα πολλοῦ τύφου καὶ πολλῆς φλυαρίας ἐστὶ μεστά, καὶ ἔγωγε πολλάκις ἐμαυτῷ μέμφομαι μακρότερα ποιούμενος αὐτὰ καὶ λαλίστερος ὤν, ἐξὸν Πυθαγόρειον διδάσκειν τὴν γλῶτταν.

Ὑπεδεξάμην μέντοι τὰ σύμβολα, φιάλην ἀργυρᾶν, ἕλκουσαν μίαν μνᾶν, καὶ χρυσοῦ νόμισμα. Καλέσαι δέ σε πρὸς ἐμαυτόν, ὥσπερ ἐπέστειλας, ἐβουλόμην· ἤδη δὲ ἔαρ ὑποφαίνει καὶ τὰ δένδρα βλαστάνει, χελιδόνες δὲ ὅσον οὔπω προσδοκώμεναι τοὺς συστρατευομένους ἡμᾶς, ὅταν ἐπεισέλθωσιν, ἐξελαύνουσι τῶν οἰκιῶν, καί φασι δεῖν ὑπερορίους εἶναι. Πορευσόμεθα δὲ δι᾽ ὑμῶν, ὥστε μοι βέλτιον ἂν ἐντύχοις, ἐθελόντων θεῶν, ἐν τοῖς σαυτοῦ· τοῦτο δὲ οἶμαι ταχέως ἔσεσθαι, πλὴν εἰ μή τι δαιμόνιον γένοιτο κώλυμα· καὶ τοῦτο δὲ αὐτὸ τοῖς θεοῖς εὐχόμεθα.

---

41 [ep. 20].

Eustochius fortasse iuris consultus et causidicus est ex Palaestina oriundus, quem magni aestimabat Libanius (*Ep.* 789: Εὐστόχιον ... τὸν ἐκ Παλαιστίνης, τὸν νόμων τε πλήρη καὶ τῇ τῶν λόγων ῥώμῃ βοηθοῦντα τοῖς νόμοις) et de quo saepius loquitur in litteris (cf. Seeck, BLZG, p. 149). Alius, Cappadox sophista, eiusdem nominis, qui de rebus Constantis scripsit, commemoratur apud Suidam (*s. v.*) et Steph. Byzant. (*s. v.* Παντικάπαιον). Seeck (*l. l.*) opinatur nostrum Eustochium eundem esse atque illum ad quem missae sunt Gregor. Nazianz. epist. 189-191 (PG 37, 308), eumque hac epistula vocari Antiochiam, ut primo die mensis Ianuarii

---

L

5 τοῦ Hertlein : τῇ cod. || κρείττονος Hertlein : κρεῖττον ὡς cod. || **6** πρᾶος Fabricius : πράων cod. || **15** τοὺς στρατευομένους Hertlein

a. 363 Iuliano adsit consulatum inituro (cf. v. 12 sq.).

Ἰουλιανὸς Εὐστοχίῳ. 387 d

Ἡσιόδῳ μὲν δοκεῖ τῷ σοφῷ καλεῖν ἐπὶ τὰς ἑορτὰς τοὺς γείτονας ὡς συνησθησομένους, ἐπειδὴ καὶ συναλγοῦσι καὶ 388 συναγωνιῶσιν ὅταν τις ἀπροσδόκητος ἐμπέσῃ ταραχή· ἐγὼ δέ φημι τοὺς φίλους δεῖν καλεῖν, οὐχὶ τοὺς γείτονας. Τὸ αἴτιον δὲ ὅτι γείτονα μὲν ἔνεστιν ἐχθρὸν ἔχειν, φίλον δὲ ἐχθρὸν οὐ μᾶλλον ἢ τὸ λευκὸν μέλαν εἶναι καὶ τὸ θερμὸν ψυχρόν. Ὅτι δὲ ἡμῖν οὐ μόνον νῦν, ἀλλὰ καὶ πάλαι φίλος εἶ καὶ διετέλεσας εὐνοϊκῶς ἔχων, εἰ καὶ μηδὲν ὑπῆρχεν ἄλλο τεκμήριον, ἀλλὰ τό γε ἡμᾶς οὕτω διατεθεῖσθαι καὶ διακεῖ- b σθαι περὶ σὲ μέγα ἂν εἴη τούτου σημεῖον. Ἧκε τοίνυν μεθέξων τῆς ὑπατείας αὐτός· ἄξει δέ σε ὁ δημόσιος δρόμος ὀχήματι χρώμενον ἑνὶ καὶ παρίππῳ. Εἰ δὲ χρή τι καὶ ἐπεύξασθαι, τὴν Ἐνοδίαν εὐμενῆ σοι καὶ τὸν Ἐνόδιον παρακεκλήκαμεν.

42

De aperiendis templis reparandoque deorum cultu.

Ammian. Marc., XXII, 5, 2 : Ubi vero abolitis quae verebatur, adesse sibi liberum tempus faciendi quae vellet advertit (*scil.* Iulianus), pectoris patefecit arcana et planis absolutisque decretis aperiri templa arisque hostias admoveri *et reparari* deorum statuit cultum.

3 Hesiod. *Op.* 343 sq.

T BΔ = r HU = v LY = g AM = c NO = b

2 titulum om. H ‖ Ἰουλιανός om. TrYcb ‖ 4 ὡς συνησθησομένους om. b ‖ 4 5 καὶ συναγωνιῶσιν om. rvg ‖ 5 τις om. rg ‖ 5 6 ἐγὼ δέ φημι TYc : φημὶ δὲ rvL ἐγὼ δὲ b ‖ 6 οὐχὶ : οὐ U ‖ 8 ἐχθρόν om. rvg ‖ 9 οὐ νῦν μόνον transp. cb ‖ 10 εὔνως cb ‖ 11 γε : τε Δ ‖ 11/12 καὶ διακεῖσθαι om. M : delet Cobet; « alterum significat : adfectum *fuisse*, alterum : animatum *esse* » Heyler; [διατεθεῖσθαι καὶ] P. Thomas ‖ 12 τοῦτο gMN ‖ 13 καὶ ante αὐτός add. cb ‖ αὐτός om. Y ‖ δέ om. T ‖ ὁ om. cb ‖ 14 ἑνὶ καὶ Trvg : καὶ cb καὶ ἑνὶ transp. Hercher (cf. p. 42, 12 sq. et 52, 23 sq.); sed vide p. 33, 7 sq. ‖ 15 τόν : τήν T ‖ 15/16 παρακέκλημαι b

Historiogr. anonym. Arianus, ed. Bidez, Philostorg. append., p. 227, 2 : Ἰουλιανὸς γνοὺς τὴν Κωνσταντίου τοῦ Αὐγούστου τελευτήν, ... διατάγματα κατὰ τοῦ Χριστιανισμοῦ καθ' ὅλης τῆς οἰκουμένης ἀποστέλλων, τὰ εἴδωλα πάντα ἀνανεοῦσθαι προσέταττεν.

Philostorg., VII, 1 b : Ὁ γὰρ Ἰουλιανός, ὡς δεδήλωται, τὴν τῶν Ῥωμαίων βασιλείαν ὑποζωσάμενος, ἐσπούδαζε μάλιστα τὸν Ἑλληνισμὸν ἐπανορθοῦν· πανταχοῦ τοίνυν γράμματα διαπεμπόμενος, ἐκέλευε τὰ τούτων τεμένη καὶ τοὺς βωμοὺς ἀνιστᾶν μετὰ πολλῆς σπουδῆς τε καὶ προθυμίας.

Sozomen., V, 3, 1 : Ἐπεὶ δὲ μόνος (scil. ὁ Ἰουλιανὸς) εἰς τὴν βασιλείαν κατέστη, καὶ ἀνὰ τὴν Ἕω τοὺς Ἑλληνικοὺς ναοὺς ἀνέῳξε, καὶ τοὺς ἠμελημένους ἐπισκευάζεσθαι, τοὺς δὲ καταλυθέντας ἀνανεοῦσθαι καὶ τοὺς βωμοὺς ἀνίστασθαι προσέταξε, καὶ πολλοὺς αὐτοῖς ἐξηῦρε φόρους, ἔθη τε παλαιὰ καὶ τὰ πάτρια τῶν πόλεων καὶ τὰς θυσίας ἀνενέωσεν. 2. Αὐτός τε ἀναφανδὸν δημοσίᾳ ἔθυεν καὶ ἔσπενδε καὶ τοὺς περὶ ταῦτα σπουδάζοντας ἐν πολλῇ τιμῇ ἐποιεῖτο· μύσταις τε καὶ ἱερεῦσιν ἱεροφάνταις τε καὶ τοῖς τῶν ξοάνων θεραπευταῖς τὰς παλαιὰς τιμὰς ἀπέδωκε, καὶ τὰ παρὰ τῶν πρόσθεν βασιλέων νενομοθετημένα ἐπ' αὐτοῖς ἐκύρωσεν, λειτουργιῶν τε καὶ τῶν ἄλλων ὧν πρὶν εἶχον τὴν ἀτέλειαν ἐπεψηφίσατο, καὶ τὰ ἀφαιρεθέντα τῶν νεωκόρων σιτηρέσια ἀπέδωκε καὶ καθαροὺς εἶναι ἀπὸ τροφῶν διεκελεύετο, καὶ ὅσων ἀπέχεσθαι προσῆκε τὸν ὡς Ἕλληνες λέγουσιν ἁγιστεύειν προῃρημένον. Cf. Iohann. Chrysost., *De S. Babyla contra Iulian.*, 14, p. 559 C ; Socrat., III, 1, 48 ; III, 18, 1 et 11, 4.

Historia acephala, 9 : Proximo autem die, Methir X die mensis (*scil.* die 4 Febr. a. 362), post cons. Tauri et Florenti, Iuliani imper(atoris) praeceptum propositum est (*scil.* Alexandriae) quo iubebatur reddi idolis et neochoris et publicae rationi quae praeteritis temporibus illis ablata sunt.

Sozomen., V, 5, 5 : Οὐκ ἐν τούτοις δὲ μόνον ἵστατο ἡ τοῦ κρατοῦντος (scil. τοῦ Ἰουλιανοῦ) πρὸς τὴν θρησκείαν ἀπέχθεια, σπουδῇ δὲ τοῦ πρὸς τὸ δόγμα μίσους οὐδὲν εἶδος παρέλειπεν εἰς καθαίρεσιν τῆς ἐκκλησίας, χρήματά τε καὶ ἀναθήματα καὶ τὰ ἱερὰ σκεύη ἀφαιρούμενος, τούς τε καταβληθέντας νεὼς ἐπὶ τῆς Κωνσταντίνου καὶ Κωνσταντίου ἡγεμονίας βιαζόμενος τοὺς καθελόντας ἀνοικοδομεῖν, ἢ τὰς ὑπὲρ αὐτῶν ἀποτιμήσεις ἐκτιννύειν. Ἐκ δὲ τούτων μηδέτερον ἐπιτελεῖν δυνάμενοι, προσέτι δὲ κατὰ τὴν ἀναζήτησιν

τῶν ἱερῶν χρημάτων ἱερεῖς τε καὶ κληρικοὶ καὶ τῶν ἄλλων Χριστιανῶν πολλοὶ χαλεπῶς ἐβασανίζοντο καὶ δεσμωτηρίοις ἐνεβάλλοντο.

Cf. (de Marco Arethusio) *ibid.*, V, 10, 9; Gregor. Nazianz., *Orat.* IV, 90 (et IV, 7, PG 35, 537 C); Theophylact. Bulgar., *Martyrium XV martyrum*, 10 (PG 126, 165 B = Historiogr. anonym. Arianus, ed. Bidez, Philostorg. append., p. 229): Ἀλλὰ καὶ εἴ κἄν τινες ἐπὶ Κωνσταντίου ἢ ναὸν καθεῖλον εἰδωλικὸν ἢ στήλην εἰδωλικὴν κατέαξαν, τούτους ἢ τὰ καθαιρεθέντα ἀνοικοδομεῖν (scil. ὁ Ἰουλιανὸς προστάττει) καὶ τὰ κατεαγότα καινουργεῖν, ἢ πικραῖς τιμωρίαις καὶ θανατώδεσι δίκαις καὶ ποιναῖς ὑποβάλλεσθαι· ἐν οἷς ἦν καὶ Μάρκος ὁ Ἀρεθούσι ς.

Cf. Zonar., XIII, 12, 31 sq. (de Aegarum in Cilicia episcopo).

Princeton expedition to Syria, *Greek and latin inscriptions*, Section A, part 2, by Littmann, Magie, Stuart (Leiden 1910), n° 186 = Dussaud et Macler, *Mission dans les régions désertiques de la Syrie moyenne*, p. 276, n° 108. Iugamentum portae in loco quodam Anz nominato XX kilom. a Bostris repertum: Ἐπὶ κρατήσεως Φλ(αουίου) Κλ(αυδίου) Ἰουλιανοῦ | αὐτοκράτορος Αὐγούστου | ἀνίθη τὰ ἱερὰ καὶ ἀνοικοδο|μήθη καὶ ἀφιερώθη ὁ να|ὸς ἐν ἔτει σνς´ Δύσ(τ)ρου ε´ (c. mensem Febr./Mart. a. 362).

Hic etiam notanda sunt:

Liban., *Orat.* XVIII, 126: Πρῶτον μὲν οὖν, ὅπερ ἔφην, ὥσπερ φυγάδα τὴν εὐσέβειαν κατήγαγε (scil. ὁ Ἰουλιανός), νεὼς τοὺς μὲν ποιῶν, τοὺς δὲ ἐπισκευάζων, εἰς δὲ τοὺς εἰσάγων ἕδη· χρήματα δὲ ἐτέλουν οἱ τοῖς τῶν ἱερῶν λίθοις σφίσιν αὐτοῖς οἰκίας ἐγείραντες. Καὶ κίονας εἶδεν ἄν τις τοὺς μὲν ναυσί, τοὺς δὲ ἐπ' ἁμαξῶν τοῖς σεσυλημένοις κομιζομένους θεοῖς.

Gregor. Nazianz., *Orat.* IV, 86: Ἵνα γὰρ ἐάσω τὰ κατὰ τῶν ἁγίων οἴκων προστάγματα δημοσίᾳ τε προτιθέμενα καὶ ἰδίᾳ πληρούμενα, καὶ σύλησιν ἀναθημάτων τε καὶ χρημάτων οὐ μᾶλλον ἐξ ἀσεβείας ἢ ἀπληστίας, καὶ σκευῶν ἱερῶν ἁρπαγὴν χερσὶ βεβήλοις ὑβριζομένων, τούς τε ὑπὲρ τούτων ἀγομένους καὶ στρεβλουμένους ἱερεῖς τε καὶ ἀρχομένους καὶ τοὺς πλήρεις αἱμάτων κίονας ταῖς τούτων χερσὶ κυκλουμένους . . . Cf. Theodoret., *Hist. eccl.*, III, 12, 1.

Cf. praeterea Ambros., *Epist. cl.* I, 40, 17; Liban., *Orat.* XII, 69; XVIII, 114, et *Epist.* 694; infra p. 206, 15 sq.

43

De ecclesiis Novatianorum.

Socrat., II, 38, 23 : Οὕτως μὲν οὖν τότε ἡ τῶν Ναυατιανῶν ἐκκλησία εἰς τὰς Συκὰς μετενήνεκτο· χρόνῳ δὲ ὕστερον μετὰ τὴν τελευτὴν Κωνσταντίου ὁ βασιλεὺς Ἰουλιανὸς τόν τε τόπον (scil. πρὸς τῷ καλουμένῳ Πελαργῷ ἐν Κωνσταντινουπόλει) ἀποδοθῆναι ἐκέλευσε καὶ ἀνοικοδομεῖν ἐπέτρεψεν (= Sozomen., IV, 20, 6).

Sozomen., V, 5, 10 : Ἐκ τοιαύτης δὲ αἰτίας καὶ Ἐλεύσιον, τὸν Κυζίκου ἐπίσκοπον, ὑπὸ βαρυτάτῳ ἐπιτιμίῳ προσέταξε (scil. ὁ Ἰουλιανὸς) τότε ταῖς αὑτοῦ δαπάναις ἐν δύο μόνοις μησὶν ἀνοικοδομῆσαι τὴν Ναυατιανῶν ἐκκλησίαν ἣν ἐπὶ Κωνσταντίου καθεῖλε. Cf. Socrat., III, 11, 3 et Bidez, *Bulletins Acad. roy. Belg., Classe des lettres*, 1914, p. 420.

44

Rescriptum pro Donatistis.

Petentibus Rogatiano, Pontio, Cassiano, Iulianus ineunte anno 362 episcopis clericisque Donatistarum exulibus reditum in civitates suas, et basilicarum eis iniuste ereptarum supellectilisque sacrae restitutionem concessit ; vide Optat., *De schism. Donat.*, II, 16 ; Augustin., *Contra litt. Petiliani*, II, 83, 184 ; 92, 205 ; 97, 224. Quod rescriptum Apostatae, ut Donatistas infamia afficeret, Honorius a. 400 « celeberrimis in locis » Africae proponi iussit (*Cod. Theod.*, XVI, 5, 37). De his disseruerunt Paul Monceaux, *Le Donatisme* (*Hist. litt. Afrique*, IV), 1912, p. 243 sq., et Martroye, *Mém. Soc. Antiqu. France*, LXXIII, 1914, p. 75 sq.

Initio rescripti verba quaedam petitionis Donatistarum repetita esse videntur, unde nota est eorum sententia « *quod apud eum* (scil. Iulianum) *sola iustitia locum haberet* » ab Augustino saepe vituperata : *Contra epist. Parmen.*, I, 12, 19 ; *Epist.* XCIII, 4, 12 et CV, 2, 9 ; *Enarr. in Psalm.* XXXVI, 2, 18 ; *Contra litt. Petiliani*, II, 92, 203 et 205.

In fine, ut videtur, rescripti legebantur sequentia ab Augustino allata, *Contra litt. Petiliani*, II, 97, 224 :

Quod Iulianus constituit dicens :

Hoc quoque supplicantibus Rogatiano, Pontio, Cassiano et

ceteris episcopis, sed et clericis, accedit ad cumulum, ut abolitis quae adversus eos sine rescripto perperam gesta sunt, in antiquum statum cuncta revocentur.

45

De exulibus revocandis.

Hac lege concessum est omnibus Christianis propter haereses a Constantio relegatis in patriam redire, ut Iulianus ipse testatur (p. 52, 19 sq., et 168, 26 : οὐ κάθοδον εἰς τὰς ἐκκλησίας αὐτῶν, ἀλλ᾽ εἰς τὰς πατρίδας συνεχωρήσαμεν ; cf. etiam 176, 9 sq.). Data est Constantinopoli paulo postquam Iulianus regno potitus est, nam die 9 Februarii a. 362 iam Alexandriae proposita est.

Historia acephala, 10 : . . . Methir XIV datum est praeceptum Gerontio pr(ae)f(ecto) eiusdem Iuliani imp(eratoris) necnon etiam vicarii Modesti, praecipiens episcopos omnes functionibus antehac circumventos et exiliatos reverti ad suas civitates et provincias ; eae autem litterae sequenti die Methir XV propositae sunt.

Commemorant praeterea hoc edictum Philostorg., VI, 7 ; Theodoret., *Hist. eccl.*, III, 4, 1 ; Rufin., *Hist. eccl.*, X, 28 ; Historiogr. anonym. Arianus, ed. Bidez, Philostorg. append., p. 230, 8 sq. ; *Chronicon praevium ad Athanas. epist. fest.*, PG 26, 1357 C ; Hieronym., *Contra Lucifer.*, 19 ; Sozomen., V, 5, 6 sq.

Notanda sunt praeter cetera :

Theophylact. Bulgar., *Martyrium XV martyrum*, 10, PG 126, 165 B : Ἀλλὰ τούς τε ἐπισκόπους, ὅσοι κατὰ τοὺς Κωνσταντίου καιροὺς καὶ χρόνους τῶν ἐκκλησιῶν διὰ τὴν πίστιν ἐξεδιώχθησαν, τῆς ἐξορίας ἀνακαλεῖται (scil. ὁ Ἰουλιανὸς) καὶ τὰς ἐκκλησίας αὐτοῖς ἀποδίδωσι, καὶ κτήσεις δὲ ἐκκλησιαστικῶν, εἴπερ τινῶν ἀφῃρέθησαν πρότερον παρ᾽ αὐτοῦ, ταῖς ἐκκλησίαις ἀπεκατέστησεν.

Socrat., III, 1, 48 : Τοὺς ἐξορισθέντας ἐπισκόπους ἀνακληθῆναι ἐκέλευσε καὶ τὰς δημευθείσας οὐσίας αὐτοῖς ἀπεδίδου (eadem fere praebet Sozomen., V, 5, 1) et III, 24, 4 : Ἀνεκάλει δὲ ὁ βασιλεὺς (scil. Ἰοβιανὸς) τοὺς ὑπὸ Κωνσταντίου μὲν ἐξορισθέντας ἐπισκόπους, ἐπὶ Ἰουλιανοῦ δὲ ἀνακληθῆναι μὴ φθάσαντας.

Ammian. Marc., XXII, 5, 3 : Utque dispositorum roboraret effectum, dissidentes Christianorum antistites cum

plebe discissa in palatium intromissos monebat civilius (*scil.* Iulianus), ut discordiis consopitis quisque nullo vetante religioni suae serviret intrepidus. 4. Quod agebat ideo obstinate, ut dissensiones augente licentia non timeret unanimantem postea plebem, nullas infestas hominibus bestias *ut* sunt sibi ferales plerique Christianorum expertus.

46 [ep. 31].

Aetius, Anomoeorum haeresiarcha, a Gallo Caesare, cui acceptissimus erat, ad Iulianum annis 351 sq. saepius missus erat (Philostorg., III, 27 ; Galli ep., infra, p. 288, 2 sq. ; cf. v. 22 : παλαιᾶς. . . συνηθείας). Quem a Constantio post Galli mortem in Phrygiam relegatum Iulianus blanda hac epistula arcessivit et postea agro circa Mitylenen donavit (Philostorg., IX, 4). Sine dubio vocavit privatim Aetium ad aulam Constantinopolitanam (στρατόπεδον), paulo postquam omnes exules episcopos in patriam redire lege permisit, i. e. circa kalendas Februarias a. 362.

404 b Ἰουλιανὸς Ἀετίῳ ἐπισκόπῳ.

Κοινῶς μὲν ἅπασι τοῖς ὁπωσοῦν ὑπὸ τοῦ μακαρίτου Κων-
c σταντίου πεφυγαδευμένοις ἕνεκα τῆς τῶν Γαλιλαίων ἀπονοίας ἀνῆκα τὴν φυγήν, σὲ δὲ οὐκ ἀνίημι μόνον, ἀλλὰ γὰρ καὶ παλαιᾶς γνώσεώς τε καὶ συνηθείας μεμνημένος, ἀφικέσθαι προτρέπω μέχρις ἡμῶν· χρήσῃ δὲ ὀχήματι δημοσίῳ μέχρι τοῦ στρατοπέδου τοῦ ἐμοῦ καὶ ἑνὶ παρίππῳ.

47

Sequentia unius eiusdemque legis excerpta esse vidit Gothofredus (ad *Cod. Theodos.*, X, 3, 1 ; cf. p. 54, 18 sq., et Bidez, *Bulletins Acad. roy. Belg., classe des lettres*, 1914, p. 422 sq.).

---

18 — 24 Totam epistulam expilavit Sozomenus V 5, § 1 et § 9 ; cf. Philostorg. VI 7.

V L

18 ἐπισκόπῳ om. L || 19 κοινῶς μὲν L : ....ῶς . ἐν V || ὁπωσοῦν V || 20 ἕνεκεν V || 21 « aut σοὶ aut ἀφίημι scribendum ; cf. 436 B (p. 176, 9 sq.) et 270 D » Hertlein || μόνον ἀλλὰ γὰρ L : μό.ον ἀ.λὰ γὰ. V || 23 προτρέπ. V || μέχρι L || 24 τοῦ ἐμοῦ om. L

a) De extraordinariis sive sordidis muneribus.

Cod. Theodos., XI, 16, 10 (362 Mart. 13):

Imp. Iulianus A. Secundo p(raefecto) p(raetori)o. Nihil provincialibus indici sine nostra scientia fas est neque rursus ex his quae sunt indicta referri. Omnia igitur, quae consuetudo vel dispositio nostra amplectitur, hoc est cursum publicum, translationes, itinerum sollicitudines ceteraque similia cuncti possessores implere pariter compellantur. *Et cetera.* P(ro)p(osita) iii id. Mart. Constantinop(oli) Mamertino et Nevitta conss.

b) De publicis possessionibus civitatibus restituendis iisdemque locandis.

Ibid., X, 3, 1 (362 Mart. 13):

Imp. Iul(i)anus A. Secundo p(raefecto) p(raetori)o. *Post alia*: Possessiones publicas civitatibus iubemus restitui ita ut iustis aestimationibus locentur, quo cunctarum possit civitatum reparatio procurari. P(ro)p(osita) <iii> id. Mart. Constantinop(oli) Mamertino et Nevitta conss.

c) De prototypia et plebeia capitatione.

Ibid., XI, 23, 2 (362 Mart. 13):

Imp. Iulianus A. Sallustio p(raefecto) p(raetori)o. Prototypias et exactiones in capitatione plebeia curialium munera et quidem inferiora esse minime dubitatur, atque ideo a senatoriis easdem domibus submoveri oportet. *Et cetera.* Dat. iii id. Mart. Constantinop(oli) Mamertino et Nevitta conss.

d) De decurionibus ad curiam revocandis vel puniendis et de lustrali collatione a curiis aliena.

Ibid., XII, 1, 50 (362 Mart. 13) [= *ibid.*, XIII, 1, 4]:

Imp. Iulianus A. Secundo P(raefecto) P(raetori)o. *Post alia*: Decuriones, qui ut Christiani declinant munia, revo-

centur. Et ab auri atque argenti praestatione, quod negotiatoribus indicitur, curiae immunes sint, nisi forte decurionem aliquid mercari constiterit, ita ut ordines civitatum ex huiusmodi reliquis sarcinarum, ut iam diximus, amoveantur. Et quoniam ad potentium domus confugisse quosdam relatum est curiales, ut tam foeda perfugia prohibeantur, multam statuimus, ut per singula capita singulos solidos dependat qui ad potentis domum confugerit et tantundem qui receperit multae nomine inferat. Nam si servus inscio domino susceperit, capite punietur, et ingenuus, qui invito patrono hoc fecerit, deportabitur. P(RO)P(OSITA) III ID. MAR. CONST(ANTINO)P(OLI) MAMERTINO ET NEVITTA CONSS.

e) De Pamphyliae civitatum possessionibus.

Cod. Iustin., XI, 70, 2 :

IDEM (scil. IMP. IULIANUS) A. SECUNDO P(RAEFECTO) P(RAETORIO). Pamphyliae etiam civitates et quaecumque aliae quidquid sibi adquirant, id firmiter habeant.

Cf. Sozomen., V, 3, 1 (supra p. 48, 17 sq.): Τὰ πάτρια τῶν πόλεων ... ἀνενέωσεν, et V, 5, 2 : Κληρικοὺς μέντοι πᾶσαν ἀτέλειαν καὶ τιμὴν καὶ τὰ σιτηρέσια ἀφείλετο (scil. ὁ Ἰουλιανός), καὶ τοὺς ὑπὲρ αὐτῶν κειμένους νόμους ἀνεῖλε, καὶ τοῖς βουλευτηρίοις ἀπέδωκε, μέχρι (l. ἅμα = *simul* Cassiod. ?) τε παρθένων καὶ χηρῶν τὰς δι' ἔνδειαν ἐν τοῖς κλήροις τεταγμένας εἰσπράττεσθαι προσέταξεν ἃ πρὶν παρὰ τοῦ δημοσίου ἐκομίσαντο. 3. Ἡνίκα γὰρ Κωνσταντῖνος τὰ τῶν ἐκκλησιῶν διέταττε πράγματα, ἐκ τῶν ἑκάστης πόλεως φόρων τὰ ἀρκοῦντα πρὸς παρασκευὴν ἐπιτηδείων ἀπένειμε τοῖς πανταχῇ κλήροις, καὶ νόμῳ τοῦτο ἐκράτυνεν, ὃς καὶ νῦν κρατεῖ, ἐξ οὗ τέθνηκεν Ἰουλιανὸς ἐπιμελῶς φυλαττόμενος. 4. Ὠμοτάτην δὲ καὶ χαλεπωτάτην τήνδε γενέσθαι φασὶ τὴν εἴσπραξιν· μαρτυρεῖ δὲ καὶ τὰ τότε παρὰ τῶν πρακτόρων γενόμενα γραμματεῖα τοῖς εἰσπραχθεῖσιν εἰς ἀπόδειξιν τῆς ἀναδόσεως ὧν εἰλήφεσαν κατὰ τὸν Κωνσταντίνου νόμον.

Philostorg., VII, 4 : Καὶ ἄλλα δὲ τῆς αὐτῆς κακοτεχνίας συνεπῆγε (scil. ὁ Ἰουλιανός)· τούς τε γὰρ ἐν κλήρῳ κατειλεγμένους εἰς τὴν τῶν βουλευτῶν ἀνέστρεφε λειτουργίαν

καὶ τῶν ἐκκλησιῶν τὰ σιτηρέσια τοῖς τῶν δαιμονίων θεραπευταῖς μετεδίδου... Cf. *ibid.*, VII, 4 ; Iulian., *Misopog.*, 361 A et 367 D ; Sozomen., VI, 3, 4 ; Theodoret., *Hist. eccl.*, III, 6, 5 ; I, 11, 3 et IV, 4, 1 ; Ammian. Marc., XXV, 4, 15 (« vectigalia civitatibus restituta cum fundis absque his quas velut iure vendidere praeteritae potestates ») ; XXII, 9, 8 ; Liban., *Orat.* XII, 69 ; XIII, 45 ; XVII, 9 ; *Epist.* 828, § 3 (κελεύει... ὁ βασιλεὺς τὰς μὲν πόλεις τὰ αὐτῶν κομίζεσθαι) ; *Cod. Theodos.*, XV, 1, 8-10 (infra p. 188 sq.).

De curiis augendis cf. praesertim Liban., *Orat.* XVIII, 148 : Τὸ γὰρ δὴ πολλῶν ἐπαίνων ἄξιον ἐκεῖνο γράμμα, τὸ δεῖν πάντα ἄνδρα πρὸς βουλὴν καλεῖν καὶ μηδὲν ἔχοντα ἰσχυρὸν εἰς ἄφεσιν ἐγγράφειν, οὕτω τὸ πρᾶγμα ἐπηνώρθωσεν, ὥστ᾽ ἠλέγχετο μικρὰ τῷ πλήθει τῶν εἰσιόντων τὰ χωρία. *Ibid.*, 146 sq. et 135 ; *Orat.* XLVIII, 17 sq. (p. 436, 12 sq. et 437, 3 sq.) ; *Orat.* XLIX, 3 ; Ammian. Marc., XXI, 12, 23 ; XXII, 9, 8 et 12, et XXV, 4, 21 : Illud quoque itidem parum ferendum quod municipalium ordinum coetibus patiebatur (*scil.* Iulianus) iniuste quosdam adnecti vel peregrinos vel ab his consortiis privilegiis aut origine longe discretos. — Cf. infra p. 160, 182 sq., 188, 201, et p. 60, ep. 54 Βυζακίοις ; supra p. 27 sq. de Antiochenis.

Sequentia, quamquam tempus quo facta sunt accurate definire non licet, a praecedentibus seiungenda non erant.

48

De imperatorum imaginibus et de signis exercituum.

Sozomen., V, 17, 2 : Ἀτεχνῶς δὲ διὰ πάντων ἑλληνίζειν προσεθίζων, μεταποιεῖν ἔγνωκεν (scil. ὁ Ἰουλιανὸς) εἰς τὸ πρότερον σχῆμα τὸ κορυφαῖον τῶν Ῥωμαϊκῶν συνθημάτων, ὅπερ Κωνσταντῖνος κατὰ θεῖον πρόσταγμα, ὡς ἐν τοῖς πρόσθεν (I, 4) εἴρηται, εἰς σταυροῦ σύμβολον μετετύπωσεν. 3. Ἐν δὲ ταῖς δημοσίαις εἰκόσιν ἐπιμελὲς ἐποιεῖτο παραγράφειν αὐτῷ Δία μέν, οἷά γε ἐκ τοῦ οὐρανοῦ προφαινόμενον καὶ στέφανον καὶ ἁλουργίδα τὰ σύμβολα τῆς βασιλείας παρέχοντα, Ἄρεα δὲ καὶ τὸν Ἑρμῆν εἰς αὐτὸν βλέποντας καὶ καθάπερ τῷ ὀφθαλμῷ ἐπιμαρτυροῦντας ὡς ἀγαθὸς εἴη περὶ λόγους καὶ πολεμικός. 4. Ἐκέλευσε δὲ ταῦτα καὶ ὅσα ἄλλα πρὸς Ἑλληνικὸν ὁρᾷ σέβας παρεμμίγνυσθαι ταῖς εἰκόσιν, ὥστε προφάσει τῆς εἰς βασιλέα νενομισμένης τιμῆς λεληθότως προσκυνεῖν τοῖς συγγεγραμμένοις.

Gregor. Nazianz., *Orat.* IV, 66 : Τολμᾷ (scil. ὁ Ἰουλιανὸς) δὲ ἤδη καὶ κατὰ τοῦ μεγάλου συνθήματος, ὃ μετὰ τοῦ σταυροῦ πομπεύει καὶ ἄγει τὸν στρατὸν εἰς ὕψος αἰρόμενον, καμάτων (scil. '*Laborum*') λυτήριον ὄν τε καὶ κατὰ Ῥωμαίους ὀνομαζόμενον καὶ βασιλεῦον, ὡς ἂν εἴποι τις, τῶν λοιπῶν συνθημάτων, ὅσα τε βασιλέων προσώποις ἀγάλλεται καὶ πεπετασμένοις ὑφάσμασιν ἐν διαφόροις βαφαῖς καὶ γράμμασιν, ὅσα τε δρακόντων φοβεροῖς χάσμασιν ἐμπνεόμενα ἐπ' ἄκρων δοράτων αἰωρουμένοις καὶ διὰ τῶν ὁλκῶν ῥιπιζόμενα φολίσιν ὑφανταῖς καταστίκτων, ἥδιστόν τε ὁμοῦ καὶ φρικτὸν θέαμα προσπίπτει ταῖς ὄψεσιν.

Ibid., 81 : Ὁ δὲ τί μηχανᾶται ; . . . ὥσπερ οἱ τοῖς βρώμασι καταμιγνύντες τὰ δηλητήρια, μῖξαι ταῖς ἐξ ἔθους τῶν βασιλέων τιμαῖς τὴν ἀσέβειαν καὶ εἰς ἓν ἀγαγεῖν νόμους Ῥωμαίων καὶ εἰδώλων προσκύνησιν· καὶ διὰ τοῦτο ταῖς εἰκόσι συμπαραγράφων τοὺς δαίμονας, ὡς δή τινας ἄλλας τῶν ἐξ ἔθους γραφὰς προὐτίθει δήμοις καὶ πόλεσι καὶ μάλιστα τοῖς τῶν ἐθνῶν ἄρχουσι τὰς εἰκόνας, ὡς κακοῦ γέ του πάντως μὴ εἶναι διαμαρτεῖν, ἀλλ' ἢ τῇ τῶν βασιλέων τιμῇ τὴν τῶν εἰδώλων συμφέρεσθαι, ἢ τῇ τούτων φυγῇ τοὺς βασιλέας ὑβρίζεσθαι, μικτῆς οὔσης τῆς προσκυνήσεως. Τοῦτον τὸν δόλον. . . ὀλίγοι μὲν διέφυγον τῶν εὐλαβεστέρων καὶ συνετωτέρων, οἳ καὶ δίκην ἔδοσαν τῆς συνέσεως.

Παραστάσεις σύντομοι χρονικαί, 47 (Script. orig. Constantinopol., rec. Th. Preger, p. 53, 3) : Πολὺς ἦν Ἰουλιανὸς ἐν μαγγανείαις· ὅθεν καὶ τοῖς εἰδώλοις (l. τὰ εἴδωλα ?) εἰς στήλας βασιλικάς, φασίν, ἐξεικόνιζε καὶ προσκυνεῖσθαι ταύτας ὡς βασιλέων εἰκόνας ἠνάγκαζεν· μεθ' ὧν καὶ ἐν τῇ Νικομηδέων μητροπόλει τὸ τοῦ Ἀπόλλωνος ἄγαλμα χρυσέγκαυστον κατασκευάσας καὶ τῆς θεᾶς Ἀρτέμιδος νόμοις ὁμοίοις ἐνομοθέτει προσκυνεῖσθαι, ὡς αὐτοῦ φησιν εἶναι καὶ τῆς γαμετῆς τὰ ἰνδάλματα· ὅθεν καὶ ἄπειρον πλῆθος κλαπὲν εἰς εἰδωλολατρείαν κατέπεσεν.

Cf. Moys. Choren., *Histor. Armen.*, III, 13, p. 139 ed. Langlois ; Liban., *Orat.* XVIII, 304.

49

De nummorum forma.

Socrat., III, 17, 5 : Ὢν γὰρ δὴ ὁ βασιλεὺς (scil. Ἰουλιανὸς) πολὺ δεισιδαίμων, ταύρους τε συνεχῶς θύων πρὸς τοῖς βωμοῖς τῶν εἰδώλων, βωμὸν καὶ ταῦρον ἐντυπωθῆναι κεκελεύκει τῷ ἑαυτοῦ νομίσματι. Cf. *ibid.*, III, 17, 4 ; Sozomen., V, 19, 2 ; Ephraemi Syri *Sermon. C. Iulian.*, apud Bickell, *Zeitschr. für Kathol. Theol.*, II, 1878, p. 339 sq.

50

De Christianis a militia officiisque publicis excludendis.

Iulianus in conferendis muneribus « deorum cultores Galilaeis praeferendos esse » censuit (cf. infra p. 112, 4 sq.). — Cf. quae de Valentiniano et Valente scriptores Christiani narrant (Socrat., IV, 1, 8 sq.; Sozomen., VI, 6, 3 sq.; Theodoret., *Hist. eccl.*, III, 16; Rufin., *Hist. eccl.*, XI, 2; Zonar., XIII, 15, 4; Philostorg., VII, 7, et p. 232 sq.; Ambros., *De obitu Valentiniani*, 55. — Cf. Zosim., IV, 2, 2; Liban., *Orat.* XXX, 54, et Allard, t. II, p. 314 sq.).

Socrat., III, 13, 1 sq.: Ἐκέλευε δὲ (scil. ὁ Ἰουλιανὸς) μηδὲ κατὰ τὰ βασίλεια στρατεύεσθαι τοὺς μὴ βουλομένους καταλιπεῖν μὲν τὸν Χριστιανισμόν, ἐπὶ τὸ θύειν δὲ τοῖς ἀγάλμασιν ἔρχεσθαι, μήτε μὴν Χριστιανοὺς τῶν ἐπαρχιῶν ἄρχοντας γίνεσθαι, λέγων ὡς κελεύει νόμος μὴ χρῆσθαι ξίφει (cf. Matth. 26, 52, etc.) κατὰ τῶν ἄξια θανάτου πεπλημμεληκότων· πολλοὺς δὲ καὶ κολακείαις καὶ δωρεαῖς ἐπὶ τὸ θύειν προετρέπετο. III, 22, 2: ... ἡνίκα Ἰουλιανὸς αἵρεσιν τοῖς στρατευομένοις νόμῳ προὐτίθει, ἢ θύειν ἢ ἀποστρατεύεσθαι...

Iohann. Antioch., *Fragm.* 179 (*Excerpta de virtutibus*, I, p. 199 ed. Büttner-Wobst): Καί ποτε Χριστιανοὺς ἐκώλυσεν (scil. ὁ Ἰουλιανὸς) ... πρὸς τὴν βασιλικὴν δορυφορίαν στρατεύεσθαι.

Rufin., *Hist. eccl.*, X, 33: Iulianus... militiae cingulum non dari nisi immolantibus iubet; procurationem provinciarum iurisque dicendi Christianis statuit non debere committi, utpote quibus etiam lex propria gladio uti vetuisset; et proficiebat cottidie in huiuscemodi legibus exquirendis, quibus, si quid versutum vel callidum, tamen quod minus videretur crudele decerneret.

Gregor. Nazianz., *Orat.* IV, 96: Ἃ ... μήτε Διοκλητιανὸς... μήτε... Μαξιμιανὸς ἐνεθυμήθη πώποτε, μήτε Μαξιμῖνος... ταῦτα ἐκεῖνος διενοεῖτο μέν (scil. ὁ Ἰουλιανός), ὡς οἱ τῶν ἀπορρήτων ἐκείνου κοινωνοὶ καὶ μάρτυρες, ... ταῦτα δὲ ἦν πάσης μὲν παρρησίας ἀποστερεῖσθαι Χριστιανούς, πάντων δὲ αὐτοὺς εἴργεσθαι συλλόγων, ἀγορῶν, πανηγύρεων, τῶν δικαστηρίων αὐτῶν· μὴ γὰρ ἐξεῖναι κεχρῆσθαι τούτοις, ὅστις μὴ κατὰ τῶν βωμῶν θυμιάσειεν ἔμπροσθεν κειμένων ... 97. Καὶ ὁ λόγος ὡς πάνσοφος τοῦ φονευτοῦ καὶ προστάτου καὶ παρανόμου καὶ νομοθέτου...

εἶναι γὰρ τοῦ ἡμετέρου νόμου μήτε ἀμύνεσθαι, μήτε δικάζεσθαι, μήτε κεκτῆσθαί τι τὴν ἀρχήν, μήτε νομίζειν ἴδιόν τι (cf. Act. 4, 32), ἀλλὰ ζῆν ἑτέρωθι (Philipp. 3, 20), καὶ τῶν παρόντων καταφρονεῖν ὡς οὐκ ὄντων, κακοῦ δὲ μὴ ἀντιδιδόναι, μηδὲ ἐξεῖναι, κακόν· μηδὲ τὴν παρειὰν παιομένους φείδεσθαι τῆς ἑτέρας, ἀλλὰ καὶ ταύτην ἐμπαρέχειν τῷ παίοντι, καὶ τὸν χιτῶνα τῷ ἱματίῳ προσαποδύεσθαι (Matth. 5, 39 sq.). Προσθήσει δὲ ἴσως (erant ergo praecedentia Iuliani ipsius verba?) ὅτι . . . 98 : Εἰ μὲν οὖν ὥσπερ ἡμᾶς τοιούτους εἶναι νομοθετεῖ καὶ τοῖς ὡρισμένοις ἐμμένειν (cf. supra p. 19, 15)...

Theodoret., *Hist. eccl.*, III, 8, 2 : Μετὰ τοῦτον (infra p. 74) ἕτερον τέθεικε νόμον, τοὺς Γαλιλαίους κελεύων τῆς στρατιᾶς ἐξελαύνεσθαι.

Sozomen., V, 17, 12 : ... ἀφελόμενος δὲ (scil. τοὺς Χριστιανοὺς) τῆς στρατείας, ἐξεώσατο τῶν βασιλείων ; V, 18, 1 : Καὶ τοῦ δικάζειν ἢ ἄρχειν ἢ ἀξιωμάτων κοινωνεῖν (scil. τοῖς Χριστιανοῖς) οὐ μετεδίδου.

Cf. etiam Iohann. Chrysostom., *In Iuventin. et Maximin.*, 1, p. 579 E (ἰατροὺς καὶ στρατιώτας καὶ σοφιστὰς καὶ ῥήτορας [cf. infra p. 69 sq.] ἅπαντας ἀφίστασθαι τῶν ἐπιτηδευμάτων ἢ τὴν πίστιν ἐξόμνυσθαι ἐκέλευσε) ; Gregor. Nazianz., *Orat.*, IV, 98 (τίνας ἀρχῶν ἀπηλάσαμεν καὶ τῶν ἄλλων τιμῶν αἳ τοῖς ἀρίστοις ὀφείλονται) ; Theophylact. Bulgar., *Martyrium XV martyrum*, 10, PG 126, 165 C (προσέταξε . . . μετέχειν Χριστιανοὺς μήτε ἀξιωμάτων συγκλητικῶν).

Liban., *Orat.* XII (Εἰς Ἰουλιανόν), 90 : Εἰδὼς οὖν ὀρθῶς ὅτι δεῖ στρατιώτην ἕκαστον προσκυνῆσαι τούτους (scil. τοὺς θεούς), ὧν δεῖται μαχόμενος, ὡς τοῦτ᾽ ὂν τῆς παρασκευῆς κεφάλαιον, οὐκ ἀσπίδος οὐδὲ θώρακος οὐδὲ ἀκοντίου, καὶ διαλεχθεὶς τοῖς θεοῖς, ἅττα δὴ καὶ διείλεξαι, συνέσει τῶν κρειττόνων τὴν δύναμιν ὥπλισας, ἑκόντας ἐπὶ τοὺς βωμοὺς θέοντας καὶ διαμαχομένους ὑπὲρ τοῦ λιβανωτοῦ.

Ibid., XVIII, 167 : Νομίσας οὖν αὐτοῖς (scil. ὁ Ἰουλιανὸς τοῖς στρατιώταις) βλάπτεσθαι τὰς ψυχὰς οὐχ ἡγεμόνων φαυλότητι μόνον, ἀλλὰ καὶ τῷ θεῶν ἄνευ πολεμεῖν, μῆνας ἐννέα ταύτην αὐτοῖς ἐκάθητο προξενῶν τὴν ῥοπήν, νομίζων καὶ πλῆθος σωμάτων καὶ σιδήρου κράτος καὶ ἀσπίδων ἰσχὺν καὶ πάνθ᾽ ἁπλῶς φλυαρίαν εἶναι θεῶν οὐ συμπολεμούντων. 168. Ὅπως οὖν συμπολεμοῖεν, ἐποίει πείθων τὴν ἀψομένην δόρατος δεξιὰν ἅπτεσθαι καὶ σπονδῆς καὶ λιβανωτοῦ, ὥστ᾽ ἔχειν βελῶν φερομένων εὔχεσθαι τοῖς ταῦτα δυναμένοις κωλύειν. Οὐκ ἀρκούντων δὲ τῶν λόγων χρυσὸς καὶ

ἄργυρος συνέπραττεν εἰς πειθώ, καὶ διὰ κέρδους μικροῦ μεῖζον εἶχε κέρδος ὁ στρατιώτης, διὰ χρυσίου φιλίαν θεῶν πολέμου κυρίων. Cf. *ibid.*, XVIII, 125; Gregor. Nazianz., *Orat.*, IV, 82 sq.; Sozomen., V, 17, 7 sq.; Theodoret., *Hist. eccl.*, III, 16, 6 sq.

51

De multa Christianis imponenda.

Socrat., III, 13, 7: Τότε δὲ ὁ βασιλεὺς (scil. ὁ Ἰουλιανὸς) Πέρσας ἀμύνεσθαι βουλόμενος ἀνθ' ὧν ἐπὶ Κωνσταντίου τὴν Ῥωμαίων χώραν κατέδραμον, σπουδαίως διὰ τῆς Ἀσίας ἐπὶ τὰ Ἑῷα μέρη διέβαινεν (cf. *ibid.*, III, 17, 1). 8. Εἰδὼς δὲ ὅσα πόλεμος ἔχει κακὰ καὶ ὡς πολλῶν δεῖται χρημάτων καὶ ἄνευ τούτων οὐ κατορθοῦται, πανούργως ἐπενόησε συλλέγειν τὰ χρήματα παρὰ τῶν Χριστιανῶν. 9. Τοῖς γὰρ μὴ βουλομένοις θύειν ἐπέθηκε χρηματικὴν καταδίκην, καὶ ἀπαίτησις κατὰ τῶν ἀληθῶς χριστιανιζόντων ἐγίνετο σύντονος· ἕκαστος γὰρ κατὰ τὴν ὕπαρξιν ἀναλόγως εἰσέφερε. 10. Καὶ ὁ βασιλεὺς ἐκ τῆς ἀδίκου συλλογῆς τῶν ἀδίκων χρημάτων ταχὺ πλούσιος ἦν· ἐχρῆτο γὰρ τῷ νόμῳ, ὅπου τε μὴ παρῆν καὶ ὅπου διέβαινε.

Cf. Iohann. Antioch., *Fragm.* 179.

52

De Christianorum martyrum actis non scribendis.

Iohann. mon. Rhodius, *Artemii Passio*, 2 (cf. Philostorg., p. 152, 13 ed. Bidez): Ἐπαινετὸς μέντοι τῆς προθυμίας καὶ τῆς περὶ τὸν μάρτυρα πίστεως (scil. auctor veterum Artemii martyris actorum), ὅτι κἂν ὁπωσοῦν ἐτόλμησεν ἅψασθαι τῆς περὶ τὸ μαρτύριον αὐτοῦ διηγήσεως, μάλιστα τοῦ ἀποστάτου καὶ ἀσεβοῦς Ἰουλιανοῦ παραγγείλαντος τοῖς ἁλισκομένοις ἐπὶ τὸ τοῦ Χριστοῦ μαρτύριον μήτε ὑπόμνημα μήτε ἄλλην τὴν οἱανοῦν ποιεῖσθαι ἀναγραφήν, καθὼς οἱ πρότερον βασιλεῖς ἐνομοθέτησαν, ἀλλὰ τοὺς πλείονας αὐτῶν ἀναπολογήτους ἀπόλλυσθαι.

Cf. *Passio Eusignii*, ed. Lambecius-Kollar, *Commentar. de biblioth. Vindob.*, VIII, 242. — Vide tamen p. 206, n° 150.

53

Ad civitates.

Sozomen., V, 3, 4: Τῷ δὲ κοινῷ τῶν πόλεων πολλάκις

ἔγραφεν (scil. ὁ Ἰουλιανός), εἰ μὲν πρὸς Ἑλληνισμὸν τετραμμένας ἔγνω, προτρέπων αἰτεῖν ἃς βούλονται δωρεάς· ταῖς δὲ χριστιανιζούσαις περιφανῶς ἀπηχθάνετο, μήτε ἐπιδημεῖν αὐταῖς ἀνεχόμενος, μήτε πρεσβευομένων περὶ τῶν λυπούντων τὰς πρεσβείας δεχόμενος.

Cf. Liban., *Orat.* XVIII, 129 : Ἃ μὲν οὖν ὑπέσχετο (scil. ὁ Ἰουλιανὸς) καὶ τοῖς θεοῖς καὶ τοῖς ἀνθρώποις περὶ τῶν θεῶν πρὸ τῆς βασιλείας, οὕτω λαμπρῶς ἐπ' αὐτῆς ἀπέδωκεν, ὥστε καὶ τῶν πόλεων αἷς μὲν ἦν ἱερὰ μένοντα καὶ προσορῶν ἥδετο καὶ τοῦ τὰ μέγιστα εὖ παθεῖν ἀξίας ἐνόμιζε, τὰς δὲ ἀνεσπακυίας ἢ πάντα ἢ τὰ πλείω μ ι α ρ ά ς τε ὠ ν ό μ α ζ ε καὶ τῶν ὠφελειῶν μετεδίδου μὲν ὡς ὑπηκόοις, οὐ μὴν ἄνευ τοῦ δυσχεραίνειν.

54 [ep. 11].

Non Βυζαντίοις, ut vulgo ferebatur, sed Βυζακίοις inscriptam esse hanc epistulam apparet collato excerpto codicis Theodos., XII, 1, 59, quo Valentinianus a. 364 « *ad Byzacenos* » rescribens decuriones certis conditionibus ad ecclesiam transire permittit (cf. *Rev. de Philol.*, XXVI, 1902, p. 224 et Mommsen, *Gesamm. Schriften*, t. III, 1907, p. 48). Hae autem Iuliani litterae missae sunt postquam clericis Christianis immunitatis privilegium ademit et inter curiales revocavit, i. e. post id. Mart. 362 (cf. p. 53 sq.).

380 d Βυζακίοις.

Τοὺς βουλευτὰς πάντας ὑμῖν ἀποδεδώκαμεν καὶ τοὺς πατροβούλους, εἴτε τῇ τῶν Γαλιλαίων ἔδοσαν ἑαυτοὺς δεισι-
381 δαιμονίᾳ, εἴτε ὅπως ἄλλως πραγματεύσαιντο διαδρᾶναι τὸ βουλευτήριον, ἔξω τῶν ἐν τῇ μητροπόλει λελειτουργηκότων.

---

25 cf. Sozomen. V 5, 2.

L X

24 βυζαντίοις L βυζαντίω X, correximus || 25/26 πατροβούλους X : πατροβόλους L προβούλους Cobet, sed cf. Mommsen, *l. l.*; *Byz. Zeitschr.* II 528 sq., etc. || 27 ὅπως codd. : ὁπωσοῦν Hertlein πως Hercher || ἐπραγματεύσαντο Hercher || 28 ἐν τῇ μητροπόλει : scil. Hadrumeti

55

Ad Cyzicenos.

Aliquot certe menses postquam Eleusius cum ceteris episcopis ab exilio revocatis in sedem suam reversus est (cf. p. 50, 9 sq. et 51), haec acta sunt, quibus narrandis Sozomenus deperdita quadam Iuliani ad Cyzicenos epistula usus esse videtur.

Sozomen., V, 15, 4 : Ἐν τούτῳ δὲ Κυζικηνῶν πρεσβευσαμένων πρὸς βασιλέα (scil. τὸν Ἰουλιανὸν) περὶ οἰκείων πραγμάτων καὶ τῆς ἐπανορθώσεως τῶν Ἑλληνικῶν ναῶν, ἐπαινέσας αὐτοὺς τῆς περὶ τὰ ἱερὰ προνοίας, πάντα παρέσχεν ὧνπερ ἐδέησαν. 5. Καὶ Ἐλεύσιον δὲ τὸν παρ᾽ αὐτοῖς ἐπίσκοπον τῆς πόλεως εἶρξεν, ὡς λυμηνάμενον τοῖς ναοῖς καὶ τοῖς τεμένεσιν ἐνυβρίσαντα καὶ χηροτροφεῖα κατασκευάσαντα καὶ παρθενῶνας ἱερῶν παρθένων συστησάμενον καὶ τοὺς Ἑλληνιστὰς πείθοντα τῶν πατρίων ἀμελεῖν. 6. Ἀπηγόρευσε δὲ καὶ τοῖς σὺν αὐτῷ ξένοις Χριστιανοῖς μὴ ἐπιβαίνειν Κυζίκῳ, αἰτίαν ἐπαγαγὼν ὡς εἰκὸς αὐτοὺς τῆς θρησκείας ἕνεκα στασιάσαι, συναιρομένων αὐτοῖς καὶ παραπλησίως περὶ τὸ θεῖον φρονούντων τῶν ἀπὸ τῆς πόλεως Χριστιανῶν καὶ τῶν δημοσίων ἐριουργῶν καὶ τῶν τεχνιτῶν τοῦ νομίσματος. 7. Οἳ πλῆθος ὄντες καὶ εἰς δύο τάγματα πολυάνθρωπα διακεκριμένοι ἐκ προστάγματος τῶν πρὶν βασιλέων ἅμα γυναιξὶ καὶ οἰκείοις ἀνὰ τὴν Κύζικον διέτριβον, ἔτους ἑκάστου ῥητὴν ἀποφορὰν τῷ δημοσίῳ κατατιθέντες, οἱ μὲν στρατιωτικῶν χλαμύδων, οἱ δὲ νεουργῶν νομισμάτων. 8. Ἐπεὶ γὰρ ἐκ παντὸς τρόπου δέδοκτο αὐτῷ συστῆσαι τὸν Ἑλληνισμόν, βιάζεσθαι μὲν ἢ τιμωρεῖσθαι τοὺς δήμους μὴ ἐθέλοντας θύειν ἀβουλίας νενόμικε· σχολῇ γὰρ ἂν τοσοῦτον καθ᾽ ἑκάστην πόλιν οἱ ἄρχοντες τὸν ἀριθμὸν μόνον ἀπεγράψαντο. Οὐ μὴν οὐδὲ συνιέναι καὶ κατὰ γνώμην εὔχεσθαι διεκώλυεν· ᾔδει γὰρ ὡς οὐκ ἀνάγκῃ ποτὲ κατορθωθείη τὰ προαιρέσεως ἑκουσίας εἰς σύστασιν δεόμενα. 9. Τοὺς δὲ κληρικοὺς καὶ τοὺς προεστῶτας τῶν ἐκκλησιῶν ἀπελαύνειν τῶν πόλεων ἔσπευδε· τὸ μὲν ἀληθὲς εἰπεῖν, τῇ τούτων ἀπουσίᾳ πραγματευόμενος διαλῦσαι τῶν λαῶν τὰς συνόδους, ὥστε μήτε τοὺς ἐκκλησιάζοντας μήτε τοὺς διδάσκοντας

---

13 sq. cf. Socrat. III 11, 3 ; Sozomen. IV 21, 1 ; V 5, 10, et supra p. 50 ‖ **19** στασιάσαι codd. ; στασιάσειν Valois, quemadmodum et Nicephorus Xanthop. intellexit ‖ **29** τοσοῦτον codd. : τούτων Valois

ἔχειν, μήτε μυστηρίων μεταλαμβάνειν, καὶ τῷ πολλῷ χρόνῳ εἰς λήθην ἐμπεσεῖν τῆς οἰκείας θρησκείας, σκηπτόμενος δὲ ὡς οἱ κληρικοὶ εἰς διάστασιν τὰ πλήθη ἄγουσιν. 10. Οὕτως οὖν, οὔτε στάσεως γενομένης οὔτε γίνεσθαι προσδοκωμένης, ἐξιέναι Κυζίκου τὸν Ἐλεύσιον καὶ τοὺς σὺν αὐτῷ προσέταξε.

56

De urbe Constantia (i. e. Maiuma) Gazaeis attribuenda.

Sozomen., V, 3, 7 : Ἐπεὶ δὲ εἰς τὴν βασιλείαν παρῆλθεν Ἰουλιανός, δίκην ἔλαχον οἱ Γαζαῖοι τοῖς Κωνσταντιεῦσι, καὶ δικαστὴς καθίσας αὐτός, προσένειμεν Γάζῃ τὴν Κωνσταντίαν, ἀμφὶ τοὺς εἴκοσι σταδίους διεστῶσαν· καὶ τὸ ἐξ ἐκείνου τῆς προτέρας ἀφαιρεθεῖσα προσηγορίας, παραθαλάττιον μέρος τῆς Γαζαίων πόλεως ὀνομάζεται· κοινοὶ δὲ αὐτοῖς πολιτικοὶ ἄρχοντες καὶ στρατηγοὶ καὶ τὰ δημόσια πράγματα.

Ibid., V, 3, 6 : Παραπλήσια δὲ καὶ τοῖς ἐν Παλαιστίνῃ Κωνσταντιεῦσι ἐγκαλῶν (scil. quod cultum deorum neglegerent), προσένειμε Γαζαίοις τὴν αὐτῶν πόλιν.

Cf. Gregor. Nazianz., *Orat.* IV, 86 ; Euseb., *Vita Constantini*, IV, 37 sq. ; Sozomen., II, 5, 7 sq. ; Socrat., I, 18, 13.

57-60. DE REBUS ALEXANDRIAE HIEME A. 361-362 GESTIS

57

De cubitu Nili et sacris symbolis ad Serapeum referendis.

Sozomen., V, 3, 3 : Προσέταξε δὲ (scil. ὁ Ἰουλιανὸς) καὶ τὸν πῆχυν τοῦ Νείλου καὶ τὰ σύμβολα κατὰ τὰ παλαιὰ πάτρια κομίζεσθαι πρὸς τὸν Σάραπιν· κατὰ πρόσταξιν γὰρ Κωνσταντίνου τῇ ἐκκλησίᾳ προσεφέρετο. Cf. *ibid.*, I, 8, 5 ; Socrat., I, 18, 2, et supra p. 47 sq.

58 [ep. 45].

Zeno medicus, Oribasii magister, ex Eunapio (*Vit. Soph.*, p. 498, 24 sq., et 499, 23) nobis notus est. Cum Alexandriae archiater factus, iuvenes medicos ibi doceret (p. 63, 14 sq.), instigante Georgio episcopo, a Constantio, ut videtur, e civitate pulsus est (ad quem casum alludit Libanii epist. 171). Petentibus Alexandrinis (p. 63, 9 sq.), Iulianus Zenoni concedit

ut ad eos revertatur et in pristinam dignitatem restituatur (v. 20). Tempore quo haec epistula missa est, Iulianus caedem Georgii nondum comperisse videtur; itaque Constantinopoli exeunte anno 361 scriptam esse verisimile est.

Ζήνωνι ἀρχιατρῷ. 426

Πολλὰ μὲν καὶ ἄλλα σοι μαρτυρεῖ καὶ τῆς ἰατρικῆς τέχνης εἰς τὰ πρῶτα ἀνήκειν, καὶ ἤθους ἐπιείκειαν καὶ βίου σωφροσύνην συμφώνως πρὸς τὴν τέχνην ἔχειν, νῦν δὲ προσῆλθε τὸ κεφάλαιον τῆς μαρτυρίας· τὴν τῶν Ἀλεξαν- b
δρέων πόλιν ἀπὼν ἐπιστρέφεις εἰς σεαυτόν· τοιοῦτον αὐτῇ κέντρον ὥσπερ μέλιττα καταλέλοιπας, εἰκότως· καλῶς γὰρ εἰρῆσθαι καὶ Ὁμήρῳ δοκεῖ τὸ

ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων.

Σὺ δὲ οὐκ ἰατρὸς ἁπλῶς, ἀλλὰ καὶ διδάσκαλος τοῖς βουλομένοις τῆς τέχνης, ὥστε σχεδὸν ὃ πρὸς τοὺς πολλούς εἰσιν c
οἱ ἰατροί, τοῦτο ἐκείνοις σύ. Λύει δέ σοι τὴν φυγὴν καὶ ἡ πρόφασις αὐτῆς καὶ μάλα λαμπρῶς· εἰ γὰρ διὰ Γεώργιον μετέστης τῆς Ἀλεξανδρείας, οὐ δικαίως μετέστης, καὶ δικαιότατα ἂν ὀπίσω κατέλθοις. Κάτιθι τοίνυν ἐπίτιμος καὶ τὸ πρότερον ἔχων ἀξίωμα, καὶ ἡμῖν κοινὴ πρὸς ἀμφοτέρων χάρις ἀντικείσθω, Ἀλεξανδρεῦσι μὲν Ζήνωνα, σοὶ δὲ ἀποδοῦσι τὴν Ἀλεξάνδρειαν.

59 [ep. 58].

Iulianus, sine dubio cum Constantinopoli degeret necdum

11 sq. cf. Plat. *Phaedo* 91 C. Iulian. 33 A, etc. || 13 Homer. Λ 514.

BΔ = r C XY [Y 11 καλῶς — 16 σύ] = d

5 ἀρχιητρῷ rX om. CY, correximus || 7 πρῶτα : πράγματα X || καὶ ante ἐπιείκειαν add. C || ἐπιεικείας codd., correximus || 8 σωφροσύνης CX σώφρονος r, correximus || 9 προσῆλθες X || 10 ἐπιστραφεὶς εἰς ἑαυτόν X || τοσοῦτον BC || 11 ἐγκαταλέλοιπας Wyttenbach et Cobet || 13 γὰρ om. C || 15 πολλούς : ἄλλους d || 17 αὐτῆς rX : αὐτή C || διὰ γεωργίας C || 20 ὑμῖν X || κοινὴ om. X || ἀμφοτέρους codd., corr. P. Thomas || 21/22 ἀποδοῦσα ΔCX

Georgii caedem ab Alexandrinis patratam nosset, i. e. circa finem a. 361 (cf. infra p. 65), obeliscum ab Alexandrinis flagitat et eis invicem statuam suam aeneam mittit, quae « permagna statua » saeculo V supertitiosum Christianis metum iniciebat : cf. Raabe, *Petrus der Iberer*, 1895, p. 72 (73).

443 Ἀλεξανδρεῦσιν.

Ὀβελὸν εἶναι παρ' ὑμῖν ἀκούω λίθινον εἰς ὕψος ἱκανὸν
b ἐπηρμένον, ἐπὶ τῆς ἠιόνος ὥσπερ ἄλλο τι τῶν ἀτιμοτάτων ἐρριμμένον. Ἐπὶ τοῦτον ἐναυπηγήσατο σκάφος ὁ μακαρίτης Κωνστάντιος, ὡς μετάξων αὐτὸν εἰς τὴν ἐμὴν πατρίδα Κωνσταντίνου πόλιν· ἐπεὶ δὲ ἐκείνῳ συνέβη θεῶν ἐθελόντων ἐνθένδε ἐκεῖσε πορευθῆναι τὴν εἱμαρμένην πορείαν, ἡ πόλις ἀπαιτεῖ παρ' ἐμοῦ τὸ ἀνάθημα, πατρὶς οὖσά μου καὶ προσήκουσα πλέον ἤπερ ἐκείνῳ· ὁ μὲν γὰρ αὐτὴν ὡς ἀδελ-
c φήν, ἐγὼ δὲ ὡς μητέρα φιλῶ· καὶ γὰρ ἐγενόμην παρ' αὐτῇ καὶ ἐτράφην ἐκεῖσε, καὶ οὐ δύναμαι περὶ αὐτὴν ἀγνώμων εἶναι.

Τί οὖν ; ἐπειδὴ καὶ ὑμᾶς οὐδὲν ἔλαττον τῆς πατρίδος φιλῶ, δίδωμι καὶ παρ' ὑμῖν ἀναστῆναι τὴν χαλκῆν εἰκόνα. Πεποίηται δὲ ἔναγχος ἀνδριὰς τῷ μεγέθει κολοσσικός, ὃν ἀναστήσαντες ἕξετε <ἀντὶ> ἀναθήματος λιθίνου χαλκοῦν, ἀνδρός, οὗ φατε ποθεῖν, εἰκόνα καὶ μορφὴν ἀντὶ τριγώνου λίθου χαράγματα ἔχοντος Αἰγύπτια. Καὶ τὸ λεγόμενον δὲ ὥς τινές εἰσιν οἱ θεραπεύοντες καὶ προσκαθεύδοντες αὐτοῦ τῇ

12 Plat. *Phaedo* 117 C, *Theaet.* 176 A et *Menex.* 236 D.

ALM = c BNO [desin. 18 Τί οὖν] = b

6 titulum om. L || 8 ἠρμένον b || ἠιόνος A : κίονος cett. || ἄλλο τι : an λῦμά τι ? cf. p. 7, 15 || 9 ἐπὶ τούτῳ ἐναυπήγησε b || 13 « malim μοι » Hertlein || 15 παρ' αὐτῆς LM παρ' αὐτοῖς A || 16/17 ἀγνώμων εἶναι c : ἀγνωμονῆσαι b || 18 post τί οὖν sequitur sine spatio fragmentum epistulae 82 in b || 19 ἀναστῆσαι Hercher || 21 ἕξετε A : ἕξεστε LM || < ἀντὶ > Muratori || 22 ἀνδρός om. LM || τριγώνου LM : τριτώνου A, an τετραγώνου ?

κορυφῇ, πάνυ με πείθει χρῆναι τῆς δεισιδαιμονίας ἕνεκα ταύτης ἀπάγειν αὐτόν· οἱ γὰρ θεώμενοι τοὺς καθεύδοντας ἐκεῖ, πολλοῦ μὲν ῥύπου, πολλῆς δὲ ἀσελγείας περὶ τὸν τόπον ὡς ἔτυχεν οὔσης, οὔτε πιστεύουσιν αὐτὸν θεῖον εἶναι καὶ διὰ τὴν τῶν προσεχόντων αὐτῷ δεισιδαιμονίαν ἀπιστότεροι περὶ τοὺς θεοὺς καθίστανται. Δι᾽ αὐτὸ δὴ οὖν τοῦτο καὶ μᾶλλον ὑμῖν προσήκει συνεπιλαβέσθαι καὶ πεμψαι τῇ ἐμῇ πατρίδι, τῇ ξενοδοχούσῃ καλῶς ὑμᾶς, ὅτε εἰς τὸν Πόντον εἰσπλεῖτε, <καί>, ὥσπερ εἰς τὰς τροφάς, καὶ εἰς τὸν ἐκτὸς κόσμον συμβάλλεσθαι. Πάντως οὐκ ἄχαρι καὶ παρ᾽ αὐτοῖς ἑστάναι τι τῶν ὑμετέρων, εἰς ὃ προσπλέοντες τῇ πόλει μετ᾽ εὐφροσύνης ἀποβλέψετε.

60 [ep. 10].

Georgii episcopi caedem, quae Iuliano huius epistulae scribendae occasionem praebuit, die 28 mensis Cyac. i. e. die 24 m. Decembris a. 361 patratam esse ex *Historia acephala*, c. 8, comperimus (falso eam a. 362 post Artemii caedem collocat Ammian. Marc., XXII, 11, 3). Itaque mense Ianuario a. 362, quo tempore imperator Constantinopoli degebat, hoc edictum missum est, quod commemorant Sozomenus, V, 7, 8 sq., qui verba quaedam ex eo excerpsit, Ammian. Marc., XXII, 11, 11, qui argumentum eius parum accurate tradidit (« *missoque edicto acri oratione scelus detestabatur admissum, minatus extrema, si deinde temptatum fuerit aliquid quod iustitia vetet et leges* »), et Socrates, III, 3, qui solus textum integrum nobis servavit.

Hoc edictum e Socrate, III, 3 (ed. R. Stephanus, Parisiis, 1544) in Iuliani epistulas inseruit Martinius. Textum ipsi contulimus cum codicibus C (= Cairensis 86, olim 1002, s. XIII, f. 299 sq.), P (= Parisin. Gr. 1443, s. XVI, f. 104v, quo uno usus erat Stephanus) et cum duobus codicibus Hus-

ALM

1 χρῆναι om. L || εἵνεκα L || 3 πολλοῦ μὲν ῥύπου om. M || 4 αὐτὸ codd., corr. Muratori || 6 δὴ om. L || 7 συνεπιλαβέσθαι LM || 8 ξενοδοχούσῃ Hertlein || 8-9 πάντων A || 9 <καὶ> Salvini apud Muratori || τροφὰς <οὕτω> καὶ Reiske, sed Hertlein lectionem codd. defendit; cf. 119 D, 247 B, etc.

seii F (Laurent. 69. 5, s. XI) et M (Laurent. 70. 7, s. X); praeterea collationem codicis A (= Cod. Monasterii Xeropotami 226 [2559 Lambros], s. XIV-XV) nobiscum communicavit D. Serruys. — Nic. = Nicephori Callisti Xanthop. *Hist. eccl.*, X, 7, cuius unicum codicem (Vindobon. histor. gr. 8, s. XIV, f. 252 sq.) phototypice depictum contulimus.

378 c Αὐτοκράτωρ Καῖσαρ Ἰουλιανὸς Μέγιστος Σεβαστὸς Ἀλεξανδρέων τῷ δήμῳ.

Εἰ μὴ τὸν Ἀλέξανδρον τὸν οἰκιστὴν ὑμῶν καὶ πρό γε τούτου τὸν θεὸν τὸν μέγαν τὸν ἁγιώτατον Σάραπιν αἰδεῖσθε,
d τοῦ κοινοῦ γοῦν ὑμᾶς καὶ ἀνθρωπίνου καὶ πρέποντ ς πῶς οὐδεὶς εἰσῆλθε λόγος; προσθήσω δὲ ὅτι καὶ ἡμῶν, οὓς οἱ θεοὶ πάντες, ἐν πρώτοις δὲ ὁ μέγας Σάραπις, ἄρχειν ἐδικαίωσαν τῆς οἰκουμένης· οἷς πρέπον ἦν τὴν ὑπὲρ τῶν ἠδικηκότων ὑμᾶς φυλάξαι διάγνωσιν. Ἀλλ᾽ ὀργὴ τυχὸν ἴσως ὑμᾶς ἐξηπάτησεν καὶ θυμός, ὅσπερ οὖν εἴωθεν

τὰ δεινὰ πράττειν, τὰς φρένας μετοικίσας;

εἶτα τῆς ὁρμῆς ἀνασταλέντες τῆς παραχρῆμα, <τοῖς>
379 βεβουλευμένοις καλῶς ὕστερον ἐπηγάγετε τὴν παρανομίαν, οὐδὲ ᾐσχύνθητε δῆμος ὄντες τολμῆσαι ταὐτά, ἐφ᾽ οἷς ἐκείνους ἐμισήσατε δικαίως; Εἴπατε γάρ μοι πρὸς τοῦ Σαράπι-

17 Melanthius apud Plutarch. *Mor.* 453 F et 551 A.
*9—10 Sozomen. V 7, 9.

Socratis codices: ACFMP, et Nic.

11-12 πῶς οὐκ εἰσῆλθε λόγος οὐδεὶς P ‖ **12** ὅτι : ἔτι Hertlein; « ὅτι eleganter redundat » Reiske ‖ **16** ὥσπερ A et, in ὅσπερ corr., P ‖ **18** εἶτα codd. et Nic. : οἱ τὰ Hertlein ‖ ἀνασταλέντες P. Thomas : ἀναστείλαντες codd. et Nic. ‖ **18-19** τῆς παραχρῆμα, <τοῖς> βεβουλευμένοις scripsimus : τοῖς παραχρῆμα βεβουλευμένοις M. et Nic. τῆς παραχρῆμα βεβουλευμένης M² ACFP; cf. Sozomen. V 7, 2 : ἀνακοπέντες δὲ τῆς παραυτίκα ὁρμῆς ‖ **19** ἐπηγάγετε Valois: ἐπήγαγε codd. et Nic., an ἐπεισηγάγετε? cf. 88 D ‖ **20** ὄντες <Ἑλληνικός> Asmus, sed cf. Plut. *Mor.* 253 C : δῆμος ἀξιοῦντες εἶναι ‖ ταὐτὰ codd., corr. Hertlein

δος. ὑπὲρ ποίων ἀδικημάτων ἐχαλεπήνατε Γεωργίῳ; τὸν μακαριώτατον Κωνστάντιον, ἐρεῖτε δήπουθεν, ὅτι καθ' ὑμῶν παρώξυνεν, εἶτα εἰσήγαγεν εἰς τὴν ἱερὰν πόλιν στρατόπεδον, καὶ κατέλαβεν ὁ στρατηγὸς τῆς Αἰγύπτου τὸ ἁγιώτατον τοῦ θεοῦ τέμενος, ἀποσυλήσας ἐκεῖθεν εἰκόνας b
καὶ ἀναθήματα καὶ τὸν ἐν τοῖς ἱεροῖς κόσμον. Ὑμῶν δὲ ἀγανακτούντων εἰκότως καὶ πειρωμένων ἀμύνειν τῷ θεῷ, μᾶλλον δὲ τοῖς τοῦ θεοῦ κτήμασιν, ὁ δὲ ἐτόλμησεν ὑμῖν ἐπιπέμψαι τοὺς ὁπλίτας ἀδίκως καὶ παρανόμως καὶ ἀσεβῶς, ἴσως Γεώργιον μᾶλλον ἢ τὸν Κωνστάντιον δεδοικώς, ὃς ἑαυτὸν παρεφύλαττεν, εἰ μετριώτερον ὑμῖν καὶ πολιτικώτερον, ἀλλὰ μὴ τυραννικώτερον πόρρωθεν προσφέροιτο.

Τούτων οὖν ἕνεκεν ὀργιζόμενοι τῷ θεοῖς ἐχθρῷ Γεωργίῳ, c
τὴν ἱερὰν αὖθις ἐμιάνατε πόλιν, ἐξὸν ὑποβάλλειν αὐτὸν ταῖς τῶν δικαστῶν ψήφοις· οὕτω γὰρ ἐγίνετο ἂν οὐ φόνος οὐδὲ παρανομία τὸ πρᾶγμα, δίκη δὲ ἐμμελής, ὑμᾶς μὲν ἀθῴους πάντῃ φυλάττουσα, τιμωρουμένη μὲν τὸν ἀνίατα δυσσεβήσαντα, σωφρονίζουσα δὲ τοὺς ἄλλους πάντας ὅσοι τῶν θεῶν ὀλιγωροῦσιν καὶ προσέτι τὰς τοιαύτας πόλεις καὶ d
τοὺς ἀνθοῦντας δήμους ἐν οὐδενὶ τίθενται, τῆς ἑαυτῶν δὲ ποιοῦνται πάρεργον δυναστείας τὴν κατ' ἐκείνων ὠμότητα.

Παραβάλετε τοίνυν ταύτην μου τὴν ἐπιστολὴν ᾗ μικρῷ πρῴην ἐπέστειλα, καὶ τὸ διάφορον κατανοήσατε· πόσους μὲν ὑμῶν ἐπαίνους ἔγραφον τότε; νυνὶ δὲ μὰ τοὺς θεοὺς

---

*3—7 Sozomen. IV 30, 2.

Socratis codices : ACFMP, et Nic.

2 μακαρίτην Cobet : cf. p. 52, 19 etc. || ἐρεῖτε Κωνστάντιον transp. A || 4 ὁ στρατηγός scil. Artemius || 8 ὑμῖν ACP : ἡμῖν FM Nic. || 10/11 ἑαυτὸν codd. et Nic., <ὃς> ἑαυτὸν scripsimus : <ὃς> αὑτὸν Petau || 12 πόρρωθεν om. Nic. || προσφέροιτο Hertlein : προσεφέρετο codd. et Nic. || 15 ἐγένετο Hertlein || 18 δυσσεβησάντων A || 19 τῶν <μὲν> ? Hercher || 23 παραβάλλετε Nic. || ᾗ : ἣν P

ὁ φιλῶν ὑμᾶς ἐπαινεῖν οὐ δύναμαι διὰ τὴν παρανομίαν.
380 Τολμᾷ δῆμος ὥσπερ οἱ κύνες ἄνθρωπον σπαράττειν, εἶτα οὐκ αἰσχύνεται καὶ † φυλάττει καθαρὰς τὰς χεῖρας ὡς προσάγειν πρὸς τοὺς θεοὺς αἵματος καθαρευούσας; Ἀλλὰ Γεώργιος ἄξιος ἦν τοῦ τοιαῦτα παθεῖν· καὶ τούτων ἴσως ἐγὼ φαίην ἂν χείρονα καὶ πικρότερα· καὶ δι' ὑμᾶς, ἐρεῖτε· σύμφημι καὶ αὐτός· παρ' ὑμῶν δὲ εἰ λέγοιτε, τοῦτο οὐκέτι
b συγχωρῶ. Νόμοι γὰρ ἡμῖν εἰσιν, οὓς χρὴ τιμᾶσθαι μάλιστα μὲν ὑπὸ πάντων ἰδίᾳ καὶ στέργεσθαι· πλὴν ἐπειδὴ συμβαίνει τῶν καθ' ἕκαστόν τινας παρανομεῖν, ἀλλὰ τὰ κοινὰ γοῦν εὐνομεῖσθαι χρὴ καὶ πειθαρχεῖν τοῖς νόμοις ὑμᾶς καὶ μὴ παραβαίνειν ὅσαπερ ἐξ ἀρχῆς ἐνομίσθη καλῶς.

Εὐτύχημα γέγονεν ὑμῖν, ἄνδρες Ἀλεξανδρεῖς, ἐπ' ἐμοῦ πλημμελῆσαι τοιοῦτό τι [πρὸς] ὑμᾶς, ὃς αἰδοῖ τῇ πρὸς τὸν θεὸν καὶ διὰ τὸν πάππον τὸν ἐμὸν καὶ ὁμώνυμον, ὃς ἦρξεν
c αὐτῆς τε Αἰγύπτου καὶ τῆς ὑμετέρας πόλεως, ἀδελφικὴν ὑμῖν εὔνοιαν ἀποσώζω. Τὸ γὰρ τῆς ἐξουσίας ἀκαταφρόνητον καὶ τὸ ἀπηνέστερον καὶ καθαρὸν τῆς ἀρχῆς οὔποτ' ἂν δήμου περιίδοι τόλμημα μὴ καθάπερ νόσημα χαλεπὸν πικροτέρῳ διακαθᾶραι φαρμάκῳ. Προσφέρω δ' ἐγὼ ὑμῖν δι'

---

*14—16 Sozomen. V 7, 9.

Socratis codices: ACFMP, et Nic.

1 ὁ φιλῶν Naber: ὀφείλων codd. || 3/4 codicum textum sic vertit Langus: « *Deinde illum eius rei nihil pudet, neque puras manus conservare curat, ut eas absque sanguinis contaminatione innocuas ad deos tendat?* » οὐκ αἰσχύνεται τὰς χεῖρας προσάγειν τοῖς θεοῖς αἵματος (αἵματι Hertlein) ῥεούσας Hercher et Hertlein οὐκ αἰσχύνεται τὰς χεῖρας ὡς καθαρὰς προσάγειν πρὸς τοὺς θεοὺς αἵματι καταρρεούσας Horkel; an οὐκ αἰσχύνεται καὶ φυλάττεται καταράτους χεῖρας προσάγειν πρὸς τοὺς θεοὺς ὡς αἵματος καθαρευούσας? || 6 δι' ἡμᾶς C || 7 λέγοιτο codd. et Nic., corr. Reiske || 8 ὑμῖν P || 11 εὐνομεῖσθαι: εὐλαβεῖσθαι C || ὑμᾶς Nic.: ἡμᾶς codd. || 12 ὅσα παρ' ἐξαρχῆς A || 14 πρὸς ὑμᾶς (in M erasum) om. Nic. || [πρὸς] Martinius || 15 πάππον codd.: θεῖον Nic. et Sozomen. *l. l.*, falso, ut alibi monstrabitur || 17 εὔνοιαν ὑμῖν transp. P || 19 δῆμον P || περιίδοι Reiske: περιιδεῖν (ἰδεῖν P) codd. et Nic. περιίδοιεν Valois || τὸ ante τόλμημα add. A || 20 διακαθῆραι Hercher

ὥσπερ ἔναγχος ἔφην αἰτίας τὸ προσηνέστατον, παραίνεσιν καὶ λόγους, ὑφ' ὧν εὖ οἶδ' ὅτι πεισθήσεσθε μᾶλλον, εἴπερ ἐστέ, καθάπερ ἀκούω, τό τε ἀρχαῖον Ἕλληνες καὶ τὰ νῦν d ἔτι τῆς εὐγενείας ἐκείνης ὕπεστιν ὑμῖν ἀξιόλογος καὶ γενναῖος ἐν τῇ διανοίᾳ καὶ τοῖς ἐπιτηδεύμασιν ὁ χαρακτήρ.

Προτεθήτω τοῖς ἐμοῖς πολίταις Ἀλεξανδρεῦσιν.

61

De professoribus.

Praecipua scriptorum antiquorum testimonia primo legenda praebemus, unde elucet hanc constitutionem, quae Christianos a docendi munere tantummodo amovebat, quasi revera scholas Christianis alumnis claudi iussisset, invidiosa interpretatione in deterius esse acceptam (cf. p. 73, 12 sq.).

a) Hieronym., *Chronic.*, a. 363 : Prohaeresius sofista Atheniensis, lege data ne Christiani liberalium artium doctores essent, cum sibi specialiter Iulianus concederet ut Christianos doceret, scholam sponte deseruit (= Oros., *Hist.*, VII, 30, 3 ; cf. etiam Eunap., *Vit. Soph.*, p. 493, 26 sq.). — Ammian. Marc., XXV, 4, 20 : Inter quae erat illud inclemens, quod docere vetuit (*scil.* Iulianus) magistros rhetoricos et grammaticos Christianos, ni transissent *ad* numinum cultum ; cf. XXII, 10, 7. — Rufin., *Hist. eccl.*, X, 33 : Studia auctorum gentilium Christianos adire prohibens, ludos litterarum illis solis qui deos deasque venerarentur patere decernit. — Augustin., *Confess.*, VIII, 5. — Ambros., *Epist.* 17, § 4. — Iohann. Chrysostom., *In Iuventin. et Maximin.*, I, p. 579 E : Ἰατροὺς καὶ στρατιώτας καὶ σοφιστὰς καὶ ῥήτορας ἅπαντας ἀφίστασθαι τῶν ἐπιτηδευμάτων ἢ τὴν πίστιν ἐξόμνυσθαι ἐκέλευσεν. — Sozomen., V, 18, 1 sq. : Οὐ μὴν οὐδὲ τοὺς αὐτῶν (scil. τῶν Χριστιανῶν) παῖδας συνεχώρει ἐκδιδάσκεσθαι τοὺς παρ' Ἕλλησι ποιητὰς καὶ συγγραφέας, οὐδὲ τοῖς τούτων διδασκάλοις φοιτᾶν . . . ἐντεῦθεν οὖν μόνον δημιουργεῖσθαι τὸ πεῖθον οἰόμενος, οὐ συνεχώρει τοῖς Χριστιανοῖς ἐν τοῖς τῶν Ἑλλήνων ἀσκεῖσθαι μαθήμασιν. — Augustin., *De civi-*

[1 — 6] Socratis codices : ACFMP, et Nic.

2 πεισθήσεσθε M² Nic. : πείσεσθε ACFMP || ἤπερ P et Nic. || 3 καὶ : εἰ καὶ M² Nic. || 4 ἔτι : ἐπὶ CMP Nic. || ὑμῖν : ἐν ἡμῖν A || 6 προτεθήτω Nic. : προστεθήτω codd. || δὲ ante τοῖς add. P

tate Dei, XVIII, 52 (355, 25 Hoffmann): An ipse (*scil.* Iulianus) non est ecclesiam persecutus, qui Christianos liberales litteras docere ac discere vetuit? — Socrat., III, 16, 1 et 18 sq.; Philostorg., VII, 4b, etc.

b) *Cod. Theodos.*, XIII, 3, 5 [v. 7-12 = *Cod. Iustin.*, X, 53, 7] (362 Iun. 17):

Idem (*scil.* Imp. Iulianus) A. Magistros studiorum doctoresque excellere oportet moribus primum, deinde facundia. Sed quia singulis civitatibus adesse ipse non possum, iubeo quisque (quisquis *Iust.*) docere vult, non repente nec temere prosiliat ad hoc munus, sed iudicio ordinis probatus decretum curialium mereatur, optimorum conspirante consensu. Hoc enim decretum ad me tractandum referetur, ut altiore quodam honore nostra iudicia studiis civitatum accedant. Dat. xv kal. Iul., acc. iiii kal. Augustas Spoletio Mamertino et Nevitta conss.

Scholia Vaticana: Doctores quales esse insinuat et non ut statim exeuntes ex auditoriis, nisi Romae a principe probati, per provinciam ab ordine doctissimorum curialium fuerint, sub ac (*sic*) decreto curialium principi dirigendum, quo possit pro honore civitatis honoribus condonari.

Cf. *Cod. Theodos.*, *ibid.*, 6 (364 Ian. 11):
Impp. Val(entini)anus et Valens AA. ad Mamertinum p(raefectum) p(raetori)o. Si qui erudiendis adulescentibus vita pariter et facundia idoneus erit, vel novum instituat auditorium, vel repetat intermissum. Dat. iii id. Ian. divo Ioviano et Varroniano conss.

c) [ep. 42].

122 Παιδείαν ὀρθὴν εἶναι νομίζομεν οὐ τὴν ἐν τοῖς ῥήμασιν καὶ τῇ γλώττῃ πολυτελῆ εὐρυθμίαν, ἀλλὰ διάθεσιν ὑγιῆ

*29 — p. 71, 5 εἶναι Suidas *s. v.* Παιδεία.

13 enim: dein? *Mommsen* || 14 nostro iudicio *cod.*, *corr. Mommsen*
[29 sq.] C

29 nullum titulum praebet cod. || 30 καὶ Suidas : οὐδὲ cod. | πολυτελῆ cod. : πολιτευομένην Suidas | ὑγιᾶ Suidas

νοῦν ἐχούσης διανοίας, καὶ ἀληθεῖς δόξας ὑπέρ τε ἀγαθῶν καὶ κακῶν, καλῶν τε καὶ αἰσχρῶν· ὅστις οὖν ἕτερα μὲν φρονεῖ, διδάσκει δὲ ἕτερα τοὺς πλησιάζοντας, αὐτὸς ἀπολελεῖφθαι b δοκεῖ τοσούτῳ παιδείας, ὅσῳ καὶ τοῦ χρηστὸς ἀνὴρ εἶναι. Καὶ εἰ μὲν ἐπὶ σμικροῖς εἴη τὸ διάφορον τῆς γνώμης πρὸς τὴν γλῶτταν, κακὸν μέν, οἰστὸν δὲ ἁμωσγέπως γίνεται· εἰ δὲ ἐν τοῖς μεγίστοις ἄλλα μὲν φρονοίη τις, ἐπ᾽ ἐναντίον δὲ ὧν φρονεῖ διδάσκοι, πῶς οὐ τοῦτο ἐκεῖνο καπήλων ἐστίν, οὔτι χρηστῶν, ἀλλὰ παμπονήρων βίος ἀνθρώπων, οἳ μάλιστα ἐπαινοῦσιν ὅσα μάλιστα φαῦλα νομί- c ζουσιν, ἐξαπατῶντες καὶ δελεάζοντες τοῖς ἐπαίνοις εἰς οὓς μετατιθέναι τὰ σφέτερα ἐθέλουσιν, οἶμαι, κακά;

Πάντας μὲν οὖν χρῆν τοὺς καὶ ὁτιοῦν διδάσκειν ἐπαγγελλομένους εἶναι τὸν τρόπον ἐπιεικεῖς καὶ μὴ μαχόμενα οἷς δημοσίᾳ μεταχειρίζονται τὰ ἐν τῇ ψυχῇ φέρειν δοξάσματα, πολὺ δὲ πλέον ἁπάντων οἶμαι δεῖν εἶναι τοιούτους ὅσοι ἐπὶ λόγοις τοῖς νέοις συγγίγνονται, τῶν παλαιῶν ἐξηγηταὶ γιγνόμενοι συγγραμμάτων, εἴτε ῥήτορες, εἴτε γραμματικοί, d καὶ ἔτι πλέον οἱ σοφισταί· βούλονται γὰρ πρὸς τοῖς ἄλλοις οὐ λέξεων μόνον, ἠθῶν δὲ εἶναι διδάσκαλοι, καὶ τὸ κατὰ σφᾶς εἶναί φασι τὴν πολιτικὴν φιλοσοφίαν.

*5 Καὶ εἰ — 7 γίνεται Suidas s. v. Οἰστά.

G

2 καλῶν : ἐσθλῶν Suidas ‖ 3 αὐτός : οὗτος Reiske ‖ 4 δοκεῖ τοσούτῳ παιδείας cod. : τοσούτῳ δοκεῖ τῆς παιδείας (sed δοκεῖ τῆς παιδείας τοσοῦτον cod. A) Suidas ‖ 5 μικροῖς Suidas ‖ τὸ om. Suidas ‖ τῆς — 6 γλῶτταν om. Suidas ‖ 6 κα....... εἰς τόνδε, spatio vacuo septem litt. ante εἰς relicto, cod. κακὸν οἰστὸν δὲ Suidas; μὲν restituit Ald. ‖ 6 7 ἀμωσγέπως P. Thomas : ὅμως τῷ ποσῷ cod. : ὅμως πόσῳ Suidas ‖ 7 ἄλλο cod., corr. Hercher ‖ 8 ἐπ᾽ ἐναντίον : ἐναντία Hercher ‖ διδάσκει cod., corr. Hercher ‖ 9 [βίος] Hercher : cf. *Contra Galil.* 238 E ‖ 10 ἐπαινοῦσιν Naber : παιδεύουσιν cod. ‖ 12 « *eos in quos transferre volunt suam scabiem* » Reiske ‖ οἶμαι Martinius : εἶναι cod. εἰ καὶ ? P. Thomas ‖ 13 χρῆν Hercher ‖ 14 οἷς scripsimus : τοῖς cod. ‖ 15 μεταχειρίζονται scripsimus : μεταχαρίζοντα cod.; cf. p. 124, 12, etc. ‖ 17 ἐπὶ λόγοις τοῖς νέοις Petau : ἐπὶ νέοις τοῖς λόγοις cod.; cf. p. 72, 11 ‖ 20 τὸ : τὰ ? Hertlein

Εἰ μὲν οὖν ἀληθὲς ἢ μή, τοῦτο ἀφείσθω νῦν· ἐπαινῶν δὲ
αὐτοὺς οὕτως ἐπαγγελμάτων καλῶν ὀρεγομένους, ἐπαινέ-
σαιμ' ἂν ἔτι πλέον, εἰ μὴ ψεύδοιντο, μηδ' ἐξελέγχοιεν αὐ-
τοὺς ἕτερα μὲν φρονοῦντας, διδάσκοντας δὲ τοὺς πλησιά-
423 ζοντας ἕτερα. Τί οὖν; Ὁμήρῳ μέντοι καὶ Ἡσιόδῳ καὶ
Δημοσθένει [μέντοι] καὶ Ἡροδότῳ καὶ Θουκυδίδῃ καὶ Ἰσο-
κράτει καὶ Λυσίᾳ θεοὶ πάσης ἡγοῦνται παιδείας· οὐχ οἱ
μὲν Ἑρμοῦ σφᾶς ἱερούς, οἱ δὲ Μουσῶν ἐνόμιζον; Ἄτοπον
μὲν οἶμαι τοὺς ἐξηγουμένους τὰ τούτων ἀτιμάζειν τοὺς
ὑπ' αὐτῶν τιμηθέντας θεούς· οὐ μὴν ἐπειδὴ τοῦτο ἄτοπον
οἶμαι, φημὶ δεῖν αὐτοὺς μεταθεμένους τοῖς νέοις συνεῖναι·
δίδωμι δὲ αἵρεσιν μὴ διδάσκειν ἃ μὴ νομίζουσι σπουδαῖα,
b βουλομένους <δέ>, διδάσκειν ἔργῳ πρῶτον, καὶ πείθειν
τοὺς μαθητὰς ὡς οὔτε Ὅμηρος οὔτε Ἡσίοδος οὔτε τούτων
οὓς ἐξήγηνται * * καὶ κατεγνωκότες ἀσέβειαν ἄνοιάν
τε καὶ πλάνην εἰς τοὺς θεούς. Ἐπεὶ δ' ἐξ ὧν ἐκεῖνοι
γεγράφασι παρατρέφονται μισθαρνοῦντες, εἶναι ὁμολο-
γοῦσιν αἰσχροκερδέστατοι καὶ δραχμῶν ὀλίγων ἕνεκα πάντα
ὑπομένειν.

c Ἕως μὲν οὖν τούτου πολλὰ ἦν τὰ αἴτια τοῦ μὴ φοιτᾶν
εἰς τὰ ἱερά, καὶ ὁ πανταχόθεν ἐπικρεμάμενος φόβος ἐδίδου
συγγνώμην ἀποκρύπτεσθαι τὰς ἀληθεστάτας ὑπὲρ τῶν θεῶν
δόξας· ἐπειδὴ δὲ ἡμῖν οἱ θεοὶ τὴν ἐλευθερίαν ἔδοσαν, ἄτο-
πον εἶναί μοι φαίνεται διδάσκειν ἐκεῖνα τοὺς ἀνθρώπους,

---

7 cf. p. 141, 1 sq.

C

2 ἐπάγγελμα τῶν cod., corr. Martinius || 6 [μέντοι] Reiske et Hercher || 9 μὲν : μέντοι Reiske ; οὖν malit Hertlein || 11/12 συνεῖναι· δίδωμι Reiske : συνδίδωμι cod. || 13 <δέ> Martinius || [καὶ] Hertlein, perperam || 15 ἐξήγηνται cod. : ἐξηγήσονται P. Thomas ἐξηγοῦνται Petau || lacunam significavimus || 16 Ἐπεὶ δ' Martinius : ἔπειτα cod. || ἐκεῖνοι ἐξ ὧν cod., transp. Reiske || 18 πάντως cod., corr. Hemsterhuis et Reiske || 19 ὑπομένοντες Reiske || 22 ὑπὲρ Martinius : ὑπὸ cod.

ὅσα μὴ νομίζουσιν εὖ ἔχειν. Ἀλλ' εἰ μὲν οἴονται σοφοὺς ὧν εἰσιν ἐξηγηταὶ καὶ ὧν ὥσπερ προφῆται κάθηνται, ζηλούd τωσαν αὐτῶν πρῶτον τὴν εἰς τοὺς θεοὺς εὐσέβειαν· εἰ δὲ εἰς τοὺς τιμιωτάτους ὑπολαμβάνουσι πεπλανῆσθαι, βαδιζόντων εἰς τὰς τῶν Γαλιλαίων ἐκκλησίας, ἐξηγησόμενοι Ματθαῖον καὶ Λουκᾶν..................

Ἱερείων ὑμεῖς ἀπέχεσθαι νομοθετεῖτε· βούλομαι ὑμῶν ἐγὼ καὶ τὰς ἀκοάς, ὡς ἂν ὑμεῖς εἴποιτε, καὶ τὴν γλῶτταν ἐξαναγεννηθῆναι ... τούτων ὧν ἔμοιγε εἴη μετέχειν ἀεὶ καὶ ὅστις ἐμοὶ φίλα νοεῖ τε καὶ πράττει.

Τοῖς μὲν καθηγεμόσι καὶ διδασκάλοις οὑτωσὶ κοινὸς κεῖ- 424 ται νόμος· ὁ βουλόμενος δὲ τῶν νέων φοιτᾶν οὐκ ἀποκέκλεισται. Οὐδὲ γὰρ <εἰκὸς> οὐδὲ εὔλογον ἀγνοοῦντας ἔτι τοὺς παῖδας ἐφ' ὅ τι τρέπωνται, τῆς βελτίστης ἀποκλείειν ὁδοῦ, φόβῳ τοῦ καὶ ἄκοντας ἄξειν ἐπὶ τὰ πάτρια· καίτοι δίκαιον ἦν, ὥσπερ τοὺς φρενιτίζοντας, οὕτω καὶ τούτους ἄκοντας ἰᾶσθαι, πλὴν ἀλλὰ συγγνώμην ὑπάρχειν ἅπασι τῆς b τοιαύτης νόσου· καὶ γάρ, οἶμαι, διδάσκειν, ἀλλ' οὐχὶ κολάζειν χρὴ τοὺς ἀνοήτους.

d) Praecedens scriptum in codice mutilum esse apparet : itaque non liquet utrum ex hoc ipso edicto necne auctores ecclesiastici sua hauserint (cf. Asmus, *Byzant. Zeitschr.*, III, 1894, p. 122 sq., et *Zeitschr. für Kirchengesch.*, XXXI, 1910, p. 349 sq.).

---

7 sqq. cf. Iulian. *C. Galil.* 229 C, p. 204, 12 sq. ‖ **9** sq. cf. Gregor. Nazianz. *Orat.* IV 100, p. 132 A ‖ **18** sq. cf. p. 178, 13 sq.

C

1 σοφοὺς Hercher : σοφὰ cod. **2 3** ζηλούντων Hercher **3** πρῶτοι malit Hertlein ‖ **6** post Λουκᾶν spatium vacuum decem et octo fere litt. praebet cod. : <οἷς πεισθέντες> ἱερείων Ald. **8** ὡς ἂν ὑμεῖς εἴποιτε post γλῶτταν transpon. putat Cobet ‖ **9** ἐξαναγεννηθῆναι pro ἐκκαθαρθῆναι, alludens ad Christianorum ἀναγέννησιν per baptismum ‖ <καὶ ἀποτρέπεσθαι> τούτων? P. Thomas ; lacunam significavimus **11** οὑτοσὶ Martinius et Hercher ‖ **13** <εἰκὸς> P. Thomas ‖ ἔτι ex ἐπὶ corr. cod. ‖ **14** τρέπωνται Ald. : τρέπονται cod. ‖ τῆς <μὲν> Reiske

Socrat., III, 12, 7 : Νόμῳ ἐκέλευε (scil. ὁ Ἰουλιανὸς) Χριστιανοὺς παιδεύσεως μὴ μετέχειν. « ἵνα μή », φησίν, « ἀκονώμενοι τὴν γλῶτταν ἑτοίμως πρὸς τοὺς διαλεκτικοὺς τῶν Ἑλλήνων ἀπαντῶσιν ».

Theodoret., *Hist. eccl.*, III, 8, 1 sq. : Καὶ πρῶτον μὲν ἀπηγόρευσε (scil. ὁ Ἰουλιανὸς) τῶν Γαλιλαίων τοὺς παῖδας (οὕτω γὰρ τοῦ Σωτῆρος ἡμῶν τοὺς θιασώτας ὠνόμαζε) ποιητικῶν καὶ ῥητορικῶν καὶ φιλοσόφων μεταλαγχάνειν λόγων· « τοῖς οἰκείοις γάρ », φησί, « πτεροῖς κατὰ τὴν παροιμίαν βαλλόμεθα· ἐκ γὰρ τῶν ἡμετέρων συγγραμμάτων καθοπλιζόμενοι τὸν καθ' ἡμῶν ἀναδέχονται πόλεμον ». Cf. Socrat., III, 16, 18 sq. et 22.

Zonaras, XIII, 12, 21 : Οὕτω γὰρ ἐξεμάνη (scil. ὁ Ἰουλιανὸς) κατὰ Χριστιανῶν ὡς καὶ κωλύειν αὐτοὺς μαθημάτων μετέχειν Ἑλληνικῶν (cf. Theophan. 48, 18), μὴ δεῖν λέγων μύθους αὐτὰ ὀνομάζοντάς τε καὶ διαβάλλοντας τῆς ἐξ αὐτῶν ὠφελείας ἀπολαύειν καὶ δι' αὐτῶν ὁπλίζεσθαι κατ' αὐτῶν.

Gregor. Nazianz., *Orat.* IV, 5 : Πρῶτον μὲν ὅτι κακούργως τὴν προσηγορίαν μετέθηκεν (scil. ὁ Ἰουλιανὸς) ἐπὶ τὸ δοκοῦν, ὥσπερ τῆς θρησκείας ὄντα τὸν Ἕλληνα λόγον, ἀλλ' οὐ τῆς γλώσσης, καὶ διὰ τοῦτο ὡς ἀλλοτρίου καλοῦ φῶρας τῶν λόγων ἡμᾶς ἀπήλασεν... 6. Ταῦτα μὲν ὁ σοφὸς ἡμῖν βασιλεύς τε καὶ νομοθέτης, ὥσπερ ἵνα μηδὲν αὐτοῦ τῆς τυραννίδος ἄμοιρον ᾖ, καὶ προκηρύξῃ τὴν ἀλογίαν ἐν ἀρχῇ τῆς ἑαυτοῦ βασιλείας, τυραννήσας πρὸ τῶν ἄλλων τοὺς λόγους. Cf. *Orat.* V, 39 : Τοῦτό τοι ἀντὶ ποδὸς ξεινήιον (Homer. χ 290), ὦ λῷστε καὶ συνετώτατε, ἵνα σε προσείπω τοῖς σοῖς· ταῦτα οἱ τῶν λόγων ἀποκλεισθέντες ἡμεῖς κατὰ τὴν μεγάλην καὶ θαυμαστήν σου νομοθεσίαν (cf. etiam ibid., 29 in fine)· ὁρᾷς ὡς οὐκ εἰς τέλος ἐμέλλομεν σιωπήσεσθαι, οὐδὲ ἀλογίαν κατακριθήσεσθαι τοῖς σοῖς δόγμασιν...

Ibid., IV, 101 : Πόθεν οὖν ἐπῆλθέ σοι τοῦτο, ὦ κουφότατε πάντων καὶ ἀπληστότατε, τὸ λόγων ἀποστερῆσαι Χριστιανούς ; Τοῦτο γὰρ οὐ τῶν ἀπειλουμένων ἦν, ἀλλὰ τῶν ἤδη νενομοθετημένων. Πόθεν κἀκ τίνος αἰτίας ; τίς Ἑρμῆς σοι λόγιος, ὡς ἂν αὐτὸς εἴποις, τοῦτ' ἐπὶ νοῦν ἤγαγε ; ... 102. Ἡμέτεροι, φησίν (scil. ὁ Ἰουλιανός), οἱ λόγοι καὶ τὸ ἑλληνίζειν, ὧν καὶ τὸ σέβειν θεούς· ὑμῶν δὲ ἡ ἀλογία καὶ ἡ ἀγροικία, καὶ οὐδὲν ὑπὲρ τὸ « πίστευσον » τῆς ὑμετέρας ἐστὶ σοφίας (cf. *ibid.*, 67 : διὰ τῆς εὐτελείας τοῦ λόγου καὶ τῆς μωρίας, ὡς ἂν αὐτοὶ φαίητε, τοῦ κηρύγματος ; 105 *in fine* :

τῆς ἀμουσίας τῆς ὑμετέρας: Theodoret., *Graec. affect. curatio. prolog.*, 1 : Πολλάκις μοι τῶν τῆς Ἑλληνικῆς μυθολογίας ἐξηρτημένων ξυντετυχηκότες τινὲς τήν τε πίστιν ἐκωμῴδησαν τὴν ἡμετέραν, οὐδὲν ἄλλο λέγοντες ἡμᾶς τοῖς τὰ θεῖα παρ᾿ ἡμῶν παιδευομένοις ἢ τὸ πιστεύειν παρεγγυᾶν, καὶ τῆς τῶν ἀποστόλων κατηγόρουν ἀπαιδευσίας, βαρβάρους ἀποκαλοῦντες, τὸ γλαφυρὸν τῆς εὐεπείας οὐκ ἔχοντας. Cf. Asmus, *Byzant. Zeitschr.*, III, 1894, p. 119 sq.). 104. Εἰ δ᾿ οὐχὶ τοῦτο φήσεις, τῆς γλώσσης δὲ ὡς ὑμετέρας μεταποιήσῃ καὶ διὰ τοῦτο πόρρω θήσεις ἡμᾶς ὥσπερ κλήρου πατρικοῦ καὶ οὐδὲν ἡμῖν διαφέροντος, πρῶτον μὲν οὐχ ὁρῶ τίς ὁ λόγος . . . Οὐ γάρ, εἰ τοὺς αὐτοὺς τήν τε γλῶσσαν ἑλληνίζοντας καὶ τὴν θρησκείαν εἶναι συμβέβηκεν, ἤδη καὶ τῆς θρησκείας οἱ λόγοι.

62-77. LEGES IUSSA DECRETA VARIA ANTE FINEM MENSIS IUNII A. 362 PROMULGATA

62

De urbe Constantinopoli.

Zosim., III, 11, 3 : Ἐν ταύτῃ (scil. Constantinopoli), τῆς πόλεως ἅμα καὶ τῶν στρατοπέδων ἐπιμελούμενος (scil. ὁ Ἰουλιανός), ἔδωκε μὲν τῇ πόλει γερουσίαν ἔχειν ὥσπερ τῇ Ῥώμῃ, λιμένα δὲ μέγιστον αὐτῇ δειμάμενος, τῶν ἀπὸ τοῦ νότου κινδυνευόντων ἀλεξητήριον πλοίων, καὶ στοὰν σιγματοειδῆ μᾶλλον ἢ εὐθεῖαν, ἐπὶ τὸν λιμένα κατάγουσαν, ἔτι δὲ βιβλιοθήκην ἐν τῇ βασιλέως οἰκοδομήσας στοᾷ καὶ ταύτῃ βίβλους ὅσας εἶχεν ἐναποθέμενος, ἐπὶ τὸν κατὰ Περσῶν παρεσκευάζετο πόλεμον.

Cf. Liban., *Orat.* XIX, 19, et Mommsen, *Gesamm. Schriften*, VI, p. 428, adn. 2.

63

Capitum e quo loco peti debeat a militibus.

Cod. Theodos., VII, 4, 7 (362 Ian. 6):

Imp. Iulianus A. Sallustio p(raefecto) p(raetori)o. Mili-

tes ad vicensimum lapidem capitum petere iussimus. DAT. VIII ID. IAN. MAMERTINO ET NEVITTA CONSS.

---

64 a

De numerariis.

Cod. Theodos., VIII, 1, 6 (362 Ian. 17):

IMP. IULIANUS A. AD AUXONIUM CORRECTOREM TUSCIAE. Numerarii, qui publicas rationes civitatum versutis fraudibus lacerare didicerunt, subiaceant tortori nomine artis ac fraudis. Verum cum quinquennio administraverint chartas publicas, unum integrum annum vacent, ut ad incusantium iurgia facilis adpetitu sit vita privata. Septimo porro anno, cum eosdem bene creditum munus administrasse claruerit, ex perfectissimis dimittantur: hic abolebit honor dignitatis additae veterem vilitatem. DAT. XVI KAL. FEB. CONST(ANTINO)P(OLI) MAMERTINO ET NEVITTA CONSS.

Ibid., 7 (362 Mart. 1):

IDEM A. SECUNDO P(RAEFECTO) P(RAETORI)O. Quamquam praecedente iussione omnes numerarios condicionales esse praecepimus, tamen etiamnunc eos qui sumpserint chartarum notitiam et in eodem officio erunt, condicionales esse iubemus, ut scientes nullo se privilegio esse munitos ac facile per tormenta fraudium suarum tutelas detegi posse, nihil committant in damna rei publicae. DAT. KAL. MART. MAMERTINO ET NEVITTA CONSS.

Cf. *ibid.*, 8 (infra n° 207).

---

7 publicas *Gothofredus*: publicarum *cod.* ‖ 20 in eodem officio erunt *Mommsen*: eodem officio inherint *cod.* ‖ 22 sutelas *Cuiacius*

64 b

De ministris et scribis ab epistulis.

Socrat., III, 1, 50 : Ἐξέβαλε δὲ (scil. ὁ Ἰουλιανὸς) τῶν βασιλείων εὐνούχους, κουρεῖς, μαγείρους· ... 51. ... τῶν μέντοι ὑπογραφέων τοὺς πλείστους τῇ ἐξ ἀρχῆς παραδοὺς τύχῃ, τοῖς λοιποῖς αὐτῶν μισθὸν ὑπογραφέως ἐκέλευσε δίδοσθαι.

Liban., *Orat.* XVIII, 130 : Βλέψας (scil. ὁ Ἰουλιανὸς) εἰς τὴν βασιλικὴν θεραπείαν καὶ κατιδὼν ὄχλον ἄχρηστον τηνάλλως τρεφόμενον, μαγείρους μὲν χιλίους, κουρέας δὲ οὐκ ἐλάττους, οἰνοχόους δὲ πλείους, σμήνη τραπεζοποιῶν, εὐνούχους ὑπὲρ τὰς μυίας παρὰ τοῖς ποιμέσιν ἐν ἦρι, καὶ τῶν ἄλλων ἑκάστων ἐθνῶν ἀμυθήτους κηφῆνας, μία γὰρ δὴ τοῖς ἀργοῖς καὶ φαγεῖν ἀγαθοῖς καταφυγὴ τῶν διακόνων βασιλέως καὶ κληθῆναι καὶ νομισθῆναι καὶ ταχὺ τὸ χρυσίον ἐποίει τὴν ἐγγραφήν, τούτους τοίνυν οὓς μάτην ἔβοσκεν ἡ βασιλικὴ δαπάνη, ζημίαν, οὐχ ὑπηρέτας νομίσας ἐξέωσεν εὐθέως. 131. Συνεξέωσε δὲ καὶ τοὺς πολλοὺς ὑπογραφέας, οἳ τέχνην ἔχοντες τὴν τῶν οἰκετῶν ὑφ᾽ ἑαυτοῖς ἔχειν τοὺς ὑπάρχους ἠξίουν ... 134 ... Τούτους δὴ τοὺς Κερβέρους καὶ <ὕδρους> πολυκεφάλους εἰς ἰδιώτας ἐξέβαλε προσειπὼν κέρδος ἡγεῖσθαι τὸ μὴ τεθνάναι τούτους.

Cf. Ammian. Marc., XXII, 4, 1 et 10, etc.

65

Data suffragatoribus ab eis repeti non posse.

Legem ab Ammiano Marc. (XXII, 6, 1 sq.) citatam eandem esse atque eam quam praebet *Cod. Theodos.* (II, 29, 1) nemo est qui negaverit ; cf. Gothofred. ad *Cod. Theodos. l. l.*, et Vales. ad Ammian. *l. l.* ; vide etiam Liban., *Orat.* XIV, 52 sq. et 56, et Mamertin., *Gratiarum actio Iuliano*, 21.

a) Ammian. Marc., XXII, 6, 1 : Per hoc idem tempus rumoribus exciti variis Aegyptii venere conplures, genus hominum controversum et adsuetudine perplexius litigandi semper laetissimum (*l.* molestissimum ?) maximeque avidum multiplicatum reposcere, si conpulsori quicquam dederit, ut levari debito possit, vel certe commodius per dilationem inferre quae flagitantur, aut criminis vitandi formidine, divi-

tes pecuniarum repetundarum interrogare. 2. Hi omnes denseti *in* unum, principem ipsum et praefectos praetorio graculorum more strepentes interpellabant incondite, modo non ante septuagensimum annum extorquentes quae dedisse se iure vel secus plurimis adfirmabant. 3. Cumque nihil aliud agi permitterent, edicto proposito, universos iussit (*scil.* Iulianus) transire Chalcedona, pollicitus quod ipse quoque protinus veniet, cuncta eorum negotia finiturus. 4. Quibus transgressis, mandatum est navigiorum magistris ultro citroque discurrentium ne quis transfretare auderet Aegyptium, hocque observato cura perpensiore evanuit pertinax calumniandi propositum, et omnes spe praesumpta frustrati redierunt ad lares. 5. Unde velut aequitate ipsa dictante lex est promulgata, qua cavetur nullum interpellari suffragatorem super his quae eum recte constiterit accepisse.

b) *Cod. Theodos.*, II, 29, 1 [= *Brev.*, II, 29, 1] (362 Febr. 1):

Imp. Iulianus A. ad populum. Foedis commentis quae bonorum merito deferuntur quidam occupare meruerunt et, cum meruissent in republica quolibet pacto versari, repetendam sibi pecuniam, quam inhoneste solverant, inpudentius atque inhonestius arbitrantur : alii etiam quae tunc donaverant, vel potius proiecerant ob inmeritas causas, invadenda denuo crediderunt. Sed quia leges Romanae huiusmodi contractus penitus ignorant, omnem repetendi eorum, quae prodige nefarieque proiecerunt, copiam prohibemus. Qui itaque repetere nititur, vel repetisse convincitur, et quod dedit apud suffragatorem eius manebit vel extortum restituet et alterum tantum fisci viribus inferre cogetur. Dat. kal. Febr. Constant(ino)p(oli) Mamertino et Nevitta conss.

Interpretatio. Aliquanti pro sua voluntate suffragia dedisse probantur et postea, cum ad militiam pervenerunt, ea quae dederant repetere vel auferre contra rationem inhoneste et inlicite praesumpserunt. Ideoque praecipimus, ut quicumque aliquid pro praestandis sibi, quae petiit, dedisse dinoscitur, non habeat licentiam repetendi ; qui vero repetere fuerit conatus, hoc ille habeat, qui accepit, aut si certe sub-

latum ei fuerit, reformetur, et aliud tantum ille qui abstulit fisco cogatur inferre.

66

De senatoribus criminis insimulatis.

Cod. Theodos., IX, 2, 1 [v. 7-10 = *Cod. Iustin.*, XII, 1, 8 et *Basilic.*, VI, 1, 25] (362 Febr. 5):

Imp. Iulianus A. Sallustio p(raefecto) p(raetori)o. Ius senatorum et auctoritatem eius ordinis, in quo nos quoque ipsos esse (esse *om. Iust.*) numeramus, necesse est ab omni iniuria defendere. ‖ Si quis ergo senator socius criminis insimulatus fuerit, ante causae cognitionem omni terrore calumniae, omni suspicionis molestia careat; vacuus sit prorsus et liber, antequam re convicta crimen agnoscat et exuat dignitatem. Dat. non. Feb. Constantinop(oli) Mamertino et Nevitta conss.

67

De cursu publico et de curiosis.

a) *Cod. Theodos.*, VIII, 5, 12 (362 Febr. 22):

Imp. Iulianus A. ad Mamertinum p(raefectum) p(raetori)o. Quoniam cursum publicum fatigavit quorundam inmoderata praesumptio et evectionum frequentia, quas vicaria potestas et praesidum adque consularium officia prorogare non desinunt, curam ac sollicitudinem huius rei nos subire conpulsi, faciendarum evectionum licentiam cunctis abduximus. Exceptis igitur vobis, nulli evectionem licebit facere de cetero. Sed, ut necessitates publicae impleantur, vicariis denas vel duodenas evectiones manu mea perscribtas ipse permittam, praesidibus vero binas annuas faciat vestra sublimitas, quibus ad separatas provinciarum secretasque partes

necessariis ex causis officiales suos dirigere possint. Sed his quoque nostra etiam mansuetudo evectiones singulas dabit, ut ad nos referre possint, cum id fieri necessitas quaedam exegerit. Acc. VIII. KAL. MART. SYRACUSIS MAMERTINO ET NEVITTA CONSS.

b) Socrat., III, 1, 52: Περιεῖλε δὲ (scil. ὁ Ἰουλιανὸς) καὶ τὸν δημόσιον τῶν χρειῶν δρόμον, οἷον ἡμιόνων, βοῶν καὶ ὄνων, μόνον δὲ τῶν ἵππων ταῖς δημοσίαις χρείαις συνεχώρησεν ὑπουργεῖν.

c) CIL. V, 8987 (lapis Concordiae repertus) = Dessau, *Inscriptiones selectae*, 755:

(O)b insignem singularemque erga rempublicam suam favorem d(ominus) n(oster) Iulianus, invictissimus princeps, remota provincialibus cura, cursum fiscalem breviatis mutationum spatiis fieri iussit, disponente Claud(i)o Mamertino v(iro) c(larissimo) per Italiam ac Inlyricum praefecto praetorio, curante Vetulenio Praenestio v(iro) p(erfectissimo) cor(rectore) Venet(iae) et Hist(riae).

Cf. Liban., *Orat.* XIII (Προσφωνητικὸς Ἰουλιανῷ), 42: Ἵππων δὲ καὶ ὀρέων διαδοχὰς ὑπὲρ μεγίστων δὴ τὸ πρῶτον συστάσας τριβομένας ἔπαυσας ὑπὸ τῶν ἐλαυνόντων.

Ibid., XVIII, 135. Τρίτην μοῖραν κακούργων ὑπηρετῶν κλεπτόντων καὶ λωποδυτούντων καὶ πᾶν καὶ λεγόντων καὶ ποιούντων ἐπὶ τῷ λαβεῖν τῶν βασιλείων ὑπερώρισε θυρῶν (scil. ὁ Ἰουλιανός), οἳ τὰς αὑτῶν πατρίδας τῆς παρ' αὑτῶν ἀπεστερηκότες χρείας βουλὰς ἀποδράντες καὶ νόμους λειτουργιῶν, εἰς ἀγγελιαφόρους τελέσαντες ἐωνοῦντο μὲν πευθῆνες (*i. e.* curiosi) καταστῆναι, καὶ τὸ σχῆμα ἦν φυλάκων ὅπως μηδὲν ἀγνοοῖ βασιλεὺς τῶν ἐπ' αὐτὸν συντιθεμένων, τὸ δὲ ἔργον καπήλων . . . 140. Οὗτοι τοίνυν οἱ βασιλέως ὀφθαλμοὶ καὶ φάσκοντες ἅπαντα εἰς φῶς ἄγειν καὶ ποιεῖν τοὺς πονηροὺς μετρίους τῷ μὴ ἐξεῖναι λανθάνειν πάσας ἀνίεσαν εἰς πονηρίαν ὁδούς... 141. ... Ὁ βασιλεὺς . . . ἔπαυσεν ὅλην μὲν ἐκείνην διασκεδάσας τὴν φατρίαν, ἀφελόμενος δὲ καὶ προσηγορίαν καὶ τάξιν, ἀφ' ἧς πάντα ἐπόρθουν τε καὶ διώρυττον, αὐτὸς δὲ τοῖς αὑτοῦ χρώμενος μὲν εἰς γραμμάτων πομπάς, τῆς δὲ τοῦ ταῦτα δρᾶν ἐξουσίας οὐ μεταδιδούς. 142. Τοῦτο δὲ ἦν ἀκριβῶς ἐλευθέρας γενέσθαι τὰς πόλεις· ἐφεστηκότος δὲ τοῦ ταῦτα ποιεῖν ἔχοντος, οὐκ ἦν ἀναπνεῦσαι καθαρῶς, ἀλλ' ὁ μὲν ἐβάλλετο, ὁ δὲ ἔμελλε, καὶ τῷ γε μὴ πεισομένῳ τὸ πεί-

σεσθαι προσδοκᾶν ἀντὶ τοῦ παθεῖν καθίστατο. 143. Τῶν τοίνυν ἀγγάρων ἡμιόνων τῇ τε συνεχείᾳ τῶν πόνων καὶ τῷ τοὺς ἄρτι ῥηθέντας τὰς μὲν λιμοκτονεῖν, αὐτοῖς δὲ τῷ 'κείνων λιμῷ παρασκευάζειν Σύβαριν — ἐποίει δὲ πολὺν τὸν πόνον καὶ τὰ νεῦρα οἷον ἐξέτεμνε τὸ τῷ βουλομένῳ ῥᾴδιον εἶναι ζεύξαντα ζεῦγος ἐλαύνειν καὶ ταὐτὸν δύνασθαι βασιλέως τε περὶ ταῦτα καὶ πευθῆνος γράμματα· διὸ στῆναι μὲν οὐκ ἦν οὐδὲ μικρὸν οὐδὲ ἀπολαῦσαι φάτνης, ἡ πληγὴ δὲ ἀσθενοῦσαν οὐκ ἀνίστη πρὸς δρόμον, ἔδει δὲ εἴκοσιν ἢ καὶ πλειόνων πρὸς ἕλξιν ὀχήματος, αἳ πολλαὶ δὲ αἳ μὲν ἄρτι λυθεῖσαι πίπτουσαι ἔθνησκον, αἳ δὲ ὑπὸ τῷ ζυγῷ πρὶν ἢ λυθῆναι — κᾆτ' ἐκωλύετο μὲν ἀπὸ τοῦ τοιούτου τὰ δεόμενα τάχους, τὴν βλάβην δὲ πάλιν εἰς χρημάτων λόγον αἱ πόλεις ἐδέχοντο. 144. Τοῦ δὲ ἀθλίως ταῦτα ἔχειν ἔλεγχος σαφέστερος ὁ χειμών, τότε δὴ μάλιστα διακοπτομένης πολλαχοῦ τῆς τῶν ὀρέων διαδοχῆς, ὥστ' ὀρεωκόμοι φεύγοντες ἐν ὀρῶν ἦσαν κορυφαῖς, ἡμίονοι δὲ χαμαί, τοῖς δ' ἐπειγομένοις πλὴν βοῆς τε καὶ τοῦ πλῆξαι τὸν μηρὸν οὐδέν. Καιροὶ δὲ οὐκ ὀλίγων πραγμάτων ἐξέφυγον τὰς ἀρχὰς ταῖς κατὰ τοῦτο βραδυτῆσι· καὶ ἐῶ λέγειν ἵππους ὅμοια πεπονθότας καὶ ὄνους πολλῷ δεινότερα· τοῦτο δὲ ἦν τοὺς ταῦτα λειτουργοῦντας ἀπολωλέναι. 145. Ἵστησι δὴ καὶ ταύτην Ἰουλιανὸς τὴν μέθην, στήσας ὡς ἀληθῶς τοὺς οὐκ ἀναγκαίους δρόμους καὶ τὰς μὲν τοιαύτας χάριτας ἐπικινδύνους ἀποφήνας καὶ δοῦναι καὶ λαβεῖν, διδάξας δὲ τοὺς ἀρχομένους ὑποζύγια τοὺς μὲν κτᾶσθαι, τοὺς δὲ μισθοῦσθαι. Καὶ πρᾶγμα ἀπιστούμενον ἑωρᾶτο, γυμνάζοντες ἡνίοχοι μὲν ἡμιόνους, ἱπποκόμοι δὲ ἵππους· ὥσπερ γὰρ πρότερον ἐπεπέδηντο ταῖς ταλαιπωρίαις, οὕτω δέος ἦν μὴ καὶ τότε τῷ μήκει τῆς ἀργίας· τουτὶ δὲ τοὺς οἴκους τῶν ὑπηκόων εὐπορωτέρους καθίστη.

Gregor. Nazianz., *Orat.* IV, 75 (δρόμος... ἀνεκτῶς διοικούμενος), etc.

68

De bonis proscriptorum non occultandis.

Cod. Theodos., IX, 42, 5 (362 Mart. 9):

Imp. Iulianus A. ad Felicem com(item) s(acrarum) l(argitionum). Quidam scelerate proscribtorum facultates occultant. Hos praecipimus, si locupletes sint, proscribtione

puniri, si per egestatem abiecti sunt in faecem vilitatemque plebeiam, damnatione capitali debita luere detrimenta. P(ro)-p(osita) Rom(ae) vii. id. Mart. Mamertino et Nevitta conss.

69

De bonis iniuste ademptis.

Socrat., III, 1, 48 : Τοὺς δὲ ὑπὸ τῶν εὐνούχων ἀδικηθέντας ἀπολαμβάνειν τὰ κακῶς ἀφαιρεθέντα ἐθέσπιζεν (scil. ὁ Ἰουλιανός).

70

De fide instrumentorum.

Cod. Theodos., XI, 39, 5 (362 Mart. 23) :

Pars actorum habitorum aput imperatorem Iulianum Augustum Mamertino et Nevitta conss. x kal. April. Constan(tino)p(oli) in consistorio : adstante Iovio viro clarissimo quaestore, Anatolio magistro officior(um), Felice com(ite) sacrarum largitionum. *Et cetera.* Imp. Iulianus A. d(ixit) : Τηνικαῦτα γραμμάτια μεγάλην ἰσχὺν ἔχει, ὅταν περὶ αὐτῶν τῶν γραμματίων μὴ ἀμφισβήτησις <ᾖ. ᾗ> ἐξ ἄλλων ὀφείλει βεβαιοῦσθαι.

71

De possessoribus fundorum patrimonalium.

Cod. Theodos., XI, 19, 2 [= *Cod. Iustin.*, XI, 65, 3] (362 Mart. 28) :

Imp. Iulianus A. Omnes, qui patrimoniales fundos (sive communiter sive ex asse *add. Iust.*) retinent, pro his conveniendi sunt ad universorum munerum (ad eosdem fundos pertinentium pro rata portione vel in solidum *add. Iust.*) functiones, sicut unumquemque privatorum necessitas publicae pensitationis adstringit. *Et cetera.* Dat. v kal. April. Mamertino et Nevitta conss.

72

De auro coronario.

De auro coronario Iulianus duas leges tulisse videtur.

A. Prior data est III kal. Mai. a. 362 Constantinopoli, cuius forsan versio Graeca proposita est d. 30 Payni (= 24 Iun.) in Aegypto: aurum coronarium non exigendum esse a civitatibus, sed earum arbitrio relinqui oportere (cf. Ammian. Marc., XXV, 4, 15: *coronarium indultum*). Erat tantum remissio tributi propter initum a Iuliano imperium indicendi, non auri coronarii quod, postquam Caesar factus est, ei decretum quidem, sed nondum ex toto solutum erat.

Cuius legis supersunt:

a) Excerptum in codice Theodosiano insertum, a conditoribus huius codicis amputatum et fortasse in fine mutatum.

b) Forsan pars posterior versionis Graecae in papyro apud Umm el 'Atl (= Bacchias, Fayum) inventa et cum imagine phototypica a viris doctis Grenfell, Hunt, Hogarth [= edd.] (*Fayûm towns and their papyri*, p. 116 sq., XX, tab. VI) publici iuris facta. Nonnulla postea emendaverunt viri docti; cf. Preisigke, *Berichtigungsl. der Gr. Pap.*, II, 1913, p. 128. — Hanc legem non Alexandro Severo tribuendam esse, ut editores crediderant (cf. *l. l.* et *The Oxyrhynchus papyri*, XIV, 1920, p. 29), sed Iuliano imperatori censuit Dessau, *Rev. de philol.*, XXV, 1901, p. 286. Cf. Wilcken, *Archiv für Papyrusf.*, II, 1902, p. 169. Nobis certe textus, etsi dubiae originis, hic collocandus erat.

B. Cum studio erga principem coronas maximi ponderis per legatos civitates certatim misissent (cf. Eunap., *Fragm.* 15; Zosim., III, 12, 2; Ammian. Marc., XXIII, 3, 8; Iulian., *Misop.*, 367 CD; Gothofred. ad *Cod. Theodos.*, XII, 13, 1), Iulianus vetuit coronas septuaginta staterum pondo maiores admitti. Altera haec lex a Libanio tantum memoratur.

A

a) *Cod. Theodos.*, XII, 13, 1 (362 Apr. 29):

Imp. Iulianus A. ad Sallustium p(raefectum) p(raetori)o. Aurum coronarium munus est voluntatis, quod non solum senatoribus, sed ne aliis quidem debet indici. Licet quaedam indictionum necessitas postulaverit; sed nostro arbitrio re-

---

37 Licet — **38** sed: scilicet quaedam indictionem num necessitas postulaverit, id *malit Mommsen*

servari oportebit. Dat. III. kal. Mai. Mamertino et Nevitta conss.

b) Integram papyrum duas tantum columnas continere recte coniecerunt primi editores. Octoginta fere litteras habebat unaquaeque linea. Col. I ipsi descripsimus.

Col. I.

]σ
]ημαι
εὐσε]βὴς εὐτυχ[ὴ]ς σεβαστὸς[ ]. . . ι
ἀνθύ]πατος [πα]τὴρ πατρίδο[ς]βασιλειν
] ν [ ]αρχι[
αιει.[ ].απ[
] [ ]ανκα
] δ ει [ ]πολεσαν
].σεσιτασιν
ἐ]πίτροπον
]ων χρη[ ]ονεποι
].ιοιατε
]γμενα
]διππαν
]ασῃ οἴκου
]τοῦ χρόν(ου)
]..ν ἀπὸ τῆς
]..ουαποτων
]..πωσματα
] εινα [ ]προτέρας καὶ
].κεκακωμένα
].μεναται ἐστιν
] φ ν [ ]ναφ...ους πόλις
ἐ]φειλοτείμεισα
]τοσούτω καὶ
]αμα...[δι]δόναι αὐτῶν
]

---

8 ημαι vel ημαρ? || **10**]τατος vel]πατος; ἀνθύπατος scripsimus || **18** ιοιατε vel ροιατε? || **19** γμενα vel σμενα? || **21** κου vel και vel κατ? || **24** αποτων vel απολλων?

Col. II.

ὅπως μὴ διὰ τὸ τῆς χαρᾶς τῆς ἑαυτῶν δήλωσιν ποιήσασθαι ἱκανὴν ἐπ᾽ ἐμοὶ παρελθόντι ἐπὶ τὴν ἀρχὴν εἰστελεῖν βιασθεῖεν μείζω ἢ δύνανται· ὅθεν μοι παρέστη τὸ βούλευμα τοῦτο, οὐδὲ ἀποδέοντι παραδειγμάτων ἐν οἷς Τραϊανόν τε καὶ Μάρκον, τοὺς ἐμαυτοῦ προγόνους, αὐτοκράτορας δὲ μάλιστα δὴ θαυμάσαι ἀξίους γεγενημένους, μιμεῖσθαι ἔμελλον, ὧν καὶ πρὸς τἆλλα τὴν προαίρεσιν ζηλοῦν ἐγὼ γνώμην ποιοῦμαι· ὡς, εἴ γε μὴ τὸ τῆς παρὰ τοὺς καιροὺς δημοσίας ἀπορίας ἐμποδὼν ἦν, πολὺ ἂν φανερωτέραν τὴν ἐμαυτοῦ μεγαλοψυχίαν ἐπιδεικνύμενος, οὐδ᾽ ἂν ἐμέλλησα, καὶ εἴ τι ἐκ τοῦ παρελθόντος χρόνου ἐκ τῆς τοιουτοτρόπου συντελείας κατιὸν ὠφείλετο, καὶ ὁπόσα πρὸς τὴν Καίσαρος προσηγορίαν ἐπὶ τὸ τῶν στεφάνων ὄνομα ἐψηφισμένα πρότερον καὶ ἔτι ψηφισθησόμενα κατὰ τὴν αὐτὴν αἰτίαν ὑπὸ τῶν πόλεων εἴη, καὶ ταῦτα ἀνεῖναι. Ἀλλὰ ταῦτα μὲν οὐκ οἴομαι δι᾽ ἃ μικρὸν ἔμπροσθεν εἶπον· ταῦτα δὲ μόνα εἰστελέσειν τὰς πόλεις, ὡς ἐκ τῶν παρόντων ὁρῶ, δυναμένας οὐ παρεῖδον.

Διόπερ ἴστωσαν ἅπαντες ἐν ταῖς πόλεσιν ἁπάσαις, ταῖς τε κατ᾽ Ἰταλίαν καὶ ταῖς ἐν τοῖς ἄλλοις ἔθνεσιν, καὶ ἐπὶ

---

2 ὅπωσ edd. : ο[..]σ pap. || δήλωσιν edd. : δηλώσωσι pap. || 3 ἱκανὴν Wilamowitz : ε.[.]ννην pap. || εἰστελεῖν edd. : ειστε[.]ιν pap. || 5 παραδιγμάτων pap. || 6 αυτοκρατορα pap., corr. edd. || 6/7 μάλλιστα pap. || 7 ομειμειsθε pap., corr. edd. || 8 τἆλλα τὴν Wilamowitz : τοαλλαγην pap. || ζηλοῦν Bücheler : τηνουν pap. || 9 τοὺς καιροὺς Wilcken : τουσκαιτουσ pap. ; cf. p. 88, 3 sq. || 9/10 δημοσιουσαπορειασενποδωνηπολυ pap., corr. edd. || 11 μεγαλουψυχιανεπιδικ[.]υμενοσ, οσ ex ου corr., pap. || 12 παρελθοντεσ — τοιουτοτροπουσ pap., corr. edd. || 13 ωφιλετοκαιοπωσα pap. || 14 ἐπὶ τῷ τῶν στεφάνων ὀνόματι edd. || εψηφισμε.α pap. || 15 εψηφισθησομεθα, θ² e corr.? pap., corr. edd. || 17 μειχρονενπροσθεν pap. || 17/18 εἰστελέσειν Bücheler : ἐπαναφέρειν Wilamowitz επαγαφρασιν vel εστ .... αι pap. || 18 πολισ pap. || ωρωδυναμενα pap., corr. edd. || 20 απανταισεμνταισ pap., corr. edd. || 21 ειταλειανκα[.] pap. || an < τὰ > καὶ ἐπὶ?

τῇ προφάσει τῆς ἐμαυτοῦ ἀρχῆς τῆς αὐτοκράτορος, ἐφ᾽ ἣν καὶ βουλομένων καὶ εὐχομένων ἁπάντων παρῆλθον, ἀντὶ τῶν χρυσῶν στεφάνων χρήματα αν....ηθέντα ἀνεῖναι αὐταῖς. ταῦτα δὲ οὐ διὰ περιουσίαν πλούτου ποιοῦντα, ἀλλὰ διὰ τὴν ἐμαυτοῦ προαίρεσιν, δι᾽ ἧς ἀεί, ἐπεὶ Καῖσάρ εἰμι, καὶ περικέκμηκα τὸ κλῖνον ἀναλήμψασθαι, οὐ φόρων ζητήσεσιν, ἀλλὰ σωφροσύνῃ μόνον, οὐ πρὸς τὸ ἴδιον γινομένων <τῶν> ἀναλωμάτων· οὐδὲ γὰρ τοῦτό μοι σπουδαιότερον ἐξ ἁπάντων εὐπορεῖν χρημάτων, πλὴν μᾶλλον φιλανθρωπίᾳ τε καὶ εὐεργεσίαις συναύξειν ταύτην <τὴν> ἀρχήν, ἵνα μου καὶ τοῖς ἡγεμόσιν, τοῖς κατ᾽ ἐπιτροπίαν παρ᾽ ἐμοῦ ἀπεσταλμένοις, οὓς ἐγὼ εἰς τὸ ἀκριβέστατον δοκιμάσας καὶ προελόμενος ἀπέστειλα, κἀκείνοις συμβούλευμα εἴη ὡς μετριωτάτους παρέχειν αὑτούς · μᾶλλον γὰρ δὴ καὶ μᾶλλον οἱ τῶν ἐθνῶν ἡγεμόνες καταμάθοιεν ἂν μεθ᾽ ὅσης αὐτοὺς προθυμίας φείδεσθαι καὶ προορᾶσθαι τῶν ἐθνῶν οἷς ἐφεστήκασι προσήκει, ὁπότε καὶ τὸν αὐτοκράτορα ὁρᾶν παρείη αὐτοῖς μετὰ τοσαύτης κοσμιότητος καὶ σωφροσύνης καὶ ἐγκρατείας τὰ τῆς βασιλείας διοικοῦντα.

---

8 sq. cf. p. 88, 3 sq. Liban. *Orat.* XVIII 191, p. 320, 10 sq. || **14** sq. cf. Liban. *ibid.* 194.

---

2 αντε pap. || **3** ανδ[.]ηι (vel ανα[.]ηι vel απα[.]..)ηθεντα pap., an απαιτηθέντα χρήματα transp.? || an ἀνεῖναι <με>? || **5/6** διηνεμαυτουπροαιρεσεισνδιησαει[.]πικαισαρ..μι (« possibly ημι ») pap. || **6** καιπερικεκμηκα pap., corr. edd. || οὐ φόρων Wilamowitz : ουχορων pap. **7** ζητησησειν pap. || **7/8** σωφρω[....]μονονουπροστοειδιονγεινομενων pap. || **8** <τῶν> supplevimus || **8/9** σπουδεοτα[..]νεξαπαντω[......]χρηματωνπληιν pap., εὐπορεῖν restituimus || **10** ευεργεσσιαισσυναυξηταυτηναρχην pap., corr. edd. || **10/11** ιναμου pap., an ἵν᾽ ὁμοῦ? || **11** τοῖς κατ᾽ ἐπιτροπίαν scripsimus : ταικατεπιτροπιαι pap. || **12** απεσσταλμενοις pap. || **12** δοκιμεισας pap. et **13** [..]πεσστιλα pap., corr. edd. || συμβούλευμα edd. : συνβουλευτατα pap., an συμβούλευμα <τοῦτο>? || ὡς edd. : ω pap. || **14** δὴ edd. : τη pap., an τοι? || **15** οἱ edd. [.]ι pap. || **15** ηγεμονεσσι et **16** προσορασθαι pap., corr. edd. || **16/17** τ ωνεθνουσιοισεπεσστηκασιπροσεκει pap., corr. edd. || **17** ὁπότε καὶ Bücheler : αποτεκται pap. || **18/19** κοσμιοτητοσικαισωφροσυνησκαιεγκρατιασι pap., corr. edd. || **19** βασιλιας pap.

Τούτου τοῦ ἐμαυτοῦ δόγματος ἀντίγραφα τοῖς καθ' ἑκάστην πόλιν ἄρχουσιν γενέσθω ἐπιμελὲς εἰς τὸ δημόσιον μάλιστα ἑστάναι σύνοπτα τοῖς ἀναγινώσκουσιν.

("Ετους) α' Παῦνι λ'.

Cf. Liban., *Orat.* XVIII, 163 : ... χρέα τε λύσας ταῖς πόλεσι (scil. ὁ Ἰουλιανός)... et *Orat.* XVI, 19 : ὁ (scil. Ἰουλιανὸς) τὴν ἀρχαίαν τοῦ χρυσοῦ φορὰν τοῖς δήμοις ἀνείς.

Ambros., *De obitu Valentiniani*, 21 : Praeterita, inquit (*scil.* Valentinianus), non queunt solvere, nova poterunt sustinere? Ex hoc laudant provinciae Iulianum.

Eutrop., X, 16,3 (= Iohann. Antioch., *Fragm.* 180, FHG, IV, 606 : Χρημάτων μὲν ἀθροίσεως ὀλίγα πεφροντικώς ; cf. p. 86, 8 sq., et p. 88,5).

B

Liban., *Orat.* XVIII, 193 : Ὁ χρυσὸς δὲ οὗτος ἀνέμνησέ με χρυσῶν στεφάνων, οὓς αἱ μὲν πόλεις ἔπεμπον διὰ πρέσβεων, ἀλλήλας ὑπερβάλλουσαι τῷ σταθμῷ, χιλίων οὗτος στατήρων, δισχιλίων δὲ ἐκεῖνος, τούτων ὁ παρ' ἑτέρων ἕλκων πλέον. Ὁ δὲ (scil. Ἰουλιανὸς) ἐπιτιμήσας τῷ μεγέθει, σαφῶς εἰδὼς ὡς οὐκ ἄνευ πόνου τὰ τοιαῦτα συλλέγοιτο, νομοθετεῖ τὸν στέφανον ἀπὸ στατήρων ἑβδομήκοντα φοιτᾶν, τὴν μὲν τιμὴν ἴσην νομίζων ἑκάτερον δύνασθαι, φιλοχρημάτου δὲ εἶναι κέρδη ζητεῖν ἐν τιμῶν σχήματι. 194. Καὶ τούτους οἱ κομίζοντες τοὺς νόμους καὶ πολλὰ ἕτερα γράμματα, τὰ μὲν οὐ χείρω, τὰ δὲ καὶ βελτίω, τοσοῦτον ἀπεῖχον τοῦ μισθὸν ἐπὶ τοιούτοις αἰτεῖν, ὥσθ' ἑκόντων διδόντων οὐ προσίεντο.

---

73 [ep. 47].

Rescriptum hoc missum est post a. 359-360 (p. 88, 11 : τῆς τρίτης ἐπινεμήσεως) ad concilium provinciae Thraciae. Conicias illud datum esse Constantinopoli circa primos menses a. 362. Fortasse ad hanc legem alludit Zosimus in loco corrupto et, ut videtur, mutilo (III, 11, 3) : ἐν ταύτῃ (scil. ἐν Βυζαντίῳ) τῆς πόλεως ἅμα καὶ τῶν στρατοπέδων ἐπιμελούμενος (cf. p. 88, 9). V. etiam Ammian. Marc., XXV, 4, 15 : *remissa debita multa diuturnitate congesta.*

---

1 ἐμαυτοῦ edd. : εμα[....] pap. | 1 2 κατεκαστηνπολιν et 2 3 δημοσιονμαλισταεσταν[..]συνοπτατοισαναγινωσκουσου pap., corr. edd. | 4 alia manu pap.

Θρᾳξίν.

428 c Βασιλεῖ μὲν πρὸς κέρδος ὁρῶντι χαλεπὸν ἂν ὑμῶν ἐφάνη τὸ αἴτημα, καὶ οὐκ ἂν ᾠήθη δεῖν τὴν δημοσίαν εὐπορίαν καταβλάπτειν τῇ πρός τινας ἰδίᾳ χάριτι· ἐπεὶ δὲ ἡμεῖς οὐχ ὅ τι πλεῖστα παρὰ τῶν ὑπηκόων ἀθροίζειν πεποιήμεθα σκοπόν, ἀλλ' ὅ τι πλείστων ἀγαθῶν αὐτοῖς αἴτιοι γίνεσθαι, τοῦτο καὶ ὑμῖν ἀπολύσει τὰ ὀφλήματα. Ἀπολύσει δὲ οὐχ
d ἁπλῶς ἅπαντα, ἀλλὰ μερισθήσεται τὸ πρᾶγμα, τὸ μὲν εἰς ὑμᾶς, τὸ δὲ εἰς τὴν τῶν στρατιωτῶν χρείαν, ἐξ ἧς οὐκ ἐλάχιστα καὶ αὐτοὶ δήπου φέρεσθε, τὴν εἰρήνην καὶ τὴν ἀσφάλειαν. Τοιγαροῦν μέχρι μὲν τῆς τρίτης ἐπινεμήσεως ἀφίεμεν ὑμῖν πάντα ὅσα ἐκ τοῦ φθάνοντος ἐλλείπει χρόνου, μετὰ ταῦτα δὲ εἰσοίσετε κατὰ τὸ εἰωθὸς ἕκαστα· ὑμῖν τε γὰρ τὰ ἀφιέμενα χάρις ἱκανή, καὶ ἡμῖν τῶν κοινῶν οὐκ
429 ἀμελητέον. Περὶ τούτου καὶ τοῖς ἐπάρχοις ἐπέσταλται, ἵν' ἡ χάρις ὑμῖν εἰς ἔργον προχωρήσῃ. Ἐρρωμένους ὑμᾶς οἱ θεοὶ σώζοιεν τὸν ἅπαντα χρόνον.

74

De immunitate capitationis.

Cod. Theodos., XI, 12, 2 (362 Apr. 30) :

Imp. Iulianus A. Omnes omnino, quicumque capitationis indulgentiam immunitatemque meruerunt, non solum ex annonario titulo, verum etiam ex speciebus ceteris atque largitionibus excepti sunt immunesque erunt ; neque enim praestanda dividimus. Melius quippe est munificentiae com-

---

BΔ = r C

1 θραξίν r : om. C || **3** ὠήθην ΔC || **4** βλάπτειν ΔC || **8** ἅπαντας Δ || **9** τὴν om. Δ || **13** εἰσοίσεται C || εἰωθὸς ἕκαστα r : ἔθος C || **14** τὰ Reiske : δὴ r om. C || **15** ἐπέσταλκα C || **16** Ἐρρωμένους — **17** χρόνον om. C || **16** ἡμᾶς in ὑμᾶς corr. Δ

pendium integrum conpetere quam saepius postulari. Dat. prid. kal. Mai. Constantinop(oli) Mamertino et Nevitta conss.

Cf. Iulian., *Misop.* 367 D.; Ammian. Marc., XXV, 4, 15; *Cod. Theodos.*, XI, 28, 1 (infra p. 187) etc.

75

De archiatris.

Huius legis, datae Constantinopoli d. 12 Mai a. 362, duo fragmenta supersunt : a) excerptum in codice Theodosiano, praefatione omissa, insertum ; b) versio Graeca plenior cum praefatione, inter epistulas Iuliani servata, quae tamen praescriptione (nam quae traditur novicia est) et subscriptione caret.

Iulianus, suadente fortasse Oribasio (cf. supra p. 17 sq.), archiatros ab omnibus muneribus publicis (a) vel certe a muneribus curialium (b) immunes esse confirmat. Privilegium a prioribus imperatoribus medicis concessum saepe tunc temporis violatum esse epistula 723 Libanii ad Celsum praesidem Ciliciae luculenter monstrat.

a) *Cod. Theodos.*, XIII, 3, 4 (362 Mai. 12) :

Imp. Iulianus A. ad archiatros. Ratio aequitatis exposcit ut veterum privilegia principum circa vos censeamus esse firmanda. Proinde nostrae mansuetudinis sanctione subnixi, securi a molestiis munerum omnium publicorum reliquum tempus aetatis iugiter agitabitis. Dat. iiii id. Mai. Const(antino)p(oli) Mamertino et Nevitta conss.

b) [ep. 25 b].

[Ἰουλιανοῦ νόμος περὶ τῶν ἰατρῶν] 398

Τὴν ἰατρικὴν ἐπιστήμην σωτηριώδη τοῖς ἀνθρώποις τυγ- b

V C BΔ = r LY = g

28 Ἰουλιανοῦ (τοῦ αὐτοῦ B) νόμος περὶ τῶν (τῶν om. Δ) ἰατρῶν rV : Ἰουλιανὸς περὶ ἰατρῶν L πρὸς ἰατροὺς C om. Y ; titulum novicium esse collato codice Theod., ubi recte de *archiatris* agitur, apparet

χάνειν τὸ ἐναργὲς τῆς χρείας μαρτυρεῖ. διὸ καὶ ταύτην ἐξ οὐρανοῦ πεφοιτηκέναι δικαίως φιλοσόφων παῖδες κηρύττουσι· τὸ γὰρ ἀσθενὲς τῆς ἡμετέρας φύσεως καὶ τὰ τῶν ἐπισυμβαινόντων ἀρρωστημάτων ἐπανορθοῦται διὰ ταύτης. Ὅθεν κατὰ τὸν τοῦ δικαίου λογισμὸν συνῳδὰ τοῖς ἄνωθεν βασιλεῦσι θεσπίζοντες ἡμετέρᾳ φιλανθρωπίᾳ κελεύομεν τῶν βουλευτικῶν λειτουργημάτων ἀνενοχλήτους ὑμᾶς τοὺς λοιποὺς χρόνους διάγειν.

76

De quibus ad vicarios referendum sit.

Cod. Theodos., I, 15, 4 (362 Iun. 6):

Imp. Iulianus A. ad Mamertinum p(raefectum) p(raetorio). Rectores provinciarum sublimitas tua conveniat, ut cunctis de rebus, de quibus ad nos et ad vestram scientiam crediderint referendum, vicarios esse participandos sciant. Accepta viii id. Iun. Mamertino et Nevitta consul.

77

De evectione specierum largitionalium.

Cod. Theodos., VIII, 5, 13 (362 Iun. 20):

Idem (*scil.* Imp. Iulianus) A. ad Mamertinum p(raefectum) p(raetorio). Ad suggestionem comitis adque eorum, qui largitionibus praesunt, inlationi specierum largitionalium conpetentes evectiones rectores provinciarum, cum absit vicarius, facere debent. Quod universis rectoribus tua sublimitas

---

V C BΔ = r LY[Y desinit **2/3** κηρύττουσι] = g

3 τὸ γὰρ — **4** ἐπισυμβαινόντων : καὶ L ἵνα τὰ r || **3** τὰ om. C || **4** ἀρρωστήματα r || ἐπανορθοῦνται ΔL ἐπανορθῶνται B || **5** ἄνω r || **7** ἀνενοχλήτως C ἀνοχλήτους L || **7/8** τοῖς λοιποῖς χρόνοις rL

12 Iulianus : ppo constantinus *cod., corr. Mommsen, nam « post obitum demum Constantii* († 361 Nov. 3) *Mamertinus praefectus factus est »*

indicare non differat. Acc. xii kal. Iul. Mamertino et Nevitta conss.

Cf. *ibid.*, 20 : Iuxta divi Iuliani consultissimam legem ad transferendas largitionum res necessarias competentia indices evectionum subsidia perferant.

78-81. EPISTULAE CIRCA MENSES IUN.-IUL. A. 362 SCRIPTAE DUM IULIANUS PER ASIAM MINOREM ITER FACIEBAT.

---

78 [ep. 4].

Scripta est haec epistula cum imperator per Asiam Minorem Syriam peteret, post mensem Iunium medium a. 362, quo Constantinopolim reliquisse videtur, et antequam Tyana pervenit (cf. p. 92, 3 sq.). — Aristoxenus Cappadox (cf. p. 92, 5) philosophus aliunde nobis non notus est.

Ἀριστοξένῳ φιλοσόφῳ. 375

Ἆρά γε χρὴ περιμένειν κλῆσιν, καὶ τὸ « ἀεὶ » προτιμᾶν μηδαμοῦ ; Ἀλλ᾽ ὅρα μὴ χαλεπὴν ταύτην εἰσάγωμεν τὴν νομοθεσίαν, εἰ ταὐτὰ χρὴ παρὰ τῶν φίλων περιμένειν, ὅσα καὶ οἷα παρὰ τῶν ἁπλῶς καὶ ὡς ἔτυχε γνωρίμων. Ἀπορήσει τις ἐνταῦθα, πῶς δὴ οὐκ ἰδόντες ἀλλήλους ἐσμὲν φίλοι; b πῶς δὲ τοῖς πρὸ χιλίων ἐτῶν γεγονόσι καὶ ναὶ μὰ Δία δισχιλίων : ὅτι σπουδαῖοι πάντως ἦσαν καὶ τὸν τρόπον καλοί τε κἀγαθοί. Ἐπιθυμοῦμεν δὲ καὶ ἡμεῖς εἶναι τοιοῦτοι, εἰ καὶ τοῦ εἶναι, τό γε εἰς ἐμέ, παμπληθὲς ἀπολειπόμεθα· πλὴν ἀλλ᾽ ἥ γε ἐπιθυμία τάττει πως ἡμᾶς εἰς τὴν αὐτὴν ἐκεί-

E I BNO = b

16 ἀεὶ : ἄκλητον Reiske ἀκλητ. Hertlein : cf. p. 92, 2 et Greg. Cypr. Mosq. *Centur.* I 78 ‖ 17 εἰσαγάγωμεν b ‖ 18 ταῦτα codd., corr. Hertlein ‖ παρὰ EI : περὶ b ‖ 19 οἷα EI : οἱ BN om. O ‖ παρὰ EI : περὶ b ‖ 20 δὴ E : δὲ b μὲν I ‖ ἰδόντες E : εἰδότες cett. ‖ 21 ναὶ om. EI ‖ 22 πάντως E : πάντες cett. ‖ 23 καὶ ἀγαθοί IB ‖ 24 τοῦ b : τό EI

νοις μερίδα. Καὶ τί τοιαῦτα ἐγὼ ληρῶ μακρότερον; εἴτε
c γὰρ ἄκλητον ἰέναι χρή, ἥξεις δήπουθεν· εἴτε καὶ κλῆσιν περιμένειν, ἰδού σοι καὶ παράκλησις ἥκει παρ' ἡμῶν. Ἔντυχε γοῦν ἡμῖν περὶ τὰ Τύανα πρὸς Διὸς φιλίου καὶ δεῖξον ἡμῖν ἄνδρα ἐν Καππαδόκαις καθαρῶς Ἕλληνα· τέως γὰρ τοὺς μὲν οὐ βουλομένους, ὀλίγους δέ τινας ἐθέλοντας μέν, οὐκ εἰδότας δὲ θύειν ὁρῶ.

---

79 [ep. 78].

Respondet Iulianus amico nobis ignoto, fortasse pagano sacerdoti (Theodoro? cf. Asmus, *Zeitschr. für Kirchengesch.*, XXIII, 1902, p. 483 sq.), qui ei obiecerat quod Pegasium, antea Ilii episcopum, sacerdotem deorum (p. 94, 14) creasset et ei legationem quandam credidisset (infra v. 23). Egregie haec illustrantur, ni fallimur, actis S. Basilii Ancyrani (A. SS., 22 Mart., t. III, p. 379), quibus docemur Iulianum, priusquam in partes Orientis proficisceretur, Pegasium et Helpidium, ambos ex Christianis paganos nuper factos, Ancyram ad Basilium praemisisse. Has litteras scriptas esse putamus mense Iunio a. 362, cum imperator Constantinopoli relicta iter per Asiam Minorem faceret (ταύτην τὴν ὁδόν p. 93, 2). — De Aphobio, qui p. 94, 23 nominatur, cf. Seeck, BLZG, p. 79.

Πηγάσιον ἡμεῖς οὔποτ' ἂν προσήκαμεν ῥᾳδίως, εἰ μὴ σαφῶς ἐπεπείσμεθα ὅτι καὶ πρότερον, εἶναι δοκῶν τῶν Γαλιλαίων ἐπίσκοπος, ἠπίστατο σέβεσθαι καὶ τιμᾶν τοὺς θεούς· οὐκ ἀκοὴν ἐγώ σοι ταῦτα ἀπαγγέλλω τῶν πρὸς ἔχθραν καὶ φιλίαν τοιαῦτα λέγειν εἰωθότων, ἐπεὶ καὶ ἐμοὶ πάνυ διατεθρύλλητο τὰ τοιαῦτα περὶ αὐτοῦ καὶ μὰ τοὺς θεοὺς ᾤμην οὕτω χρῆναι μισεῖν αὐτὸν ὡς οὐδένα τῶν πονηροτά-

---

[1—7] E I BNO = b — [23 sq.] H

2 καὶ : εἰς E || 2/3 περιμένειν EI : περιμένεις b || 3 περίκλησις b || Ἔντυχε : ἔτυχεν b || 4 γοῦν EI : οὖν b || τύανα E : τίανα I τοιαῦτα b || 7 δὲ om. b || ὁρῶ om. I

23 sine titulo textum praebet cod. || 25 ὑπήστατο σεύεσθαι cod., corr. Henning || 26 ἀπαγγέλω cod., corr. Henning || 27 τοιαῦτα scripsimus: ταῦτα cod., quod deleverat Henning || 28 διετεθρύλητο Henning || <ναὶ> μὰ Hertlein

των. Ἐπεὶ δὲ κληθεὶς εἰς τὸ στρατόπεδον ὑπὸ τοῦ μακαρίτου Κωνσταντίου ταύτην ἐπορευόμην τὴν ὁδόν, ἀπὸ τῆς Τρῳάδος ὄρθρου βαθέος διαναστάς, ἦλθον εἰς τὸ Ἴλιον περὶ πλήθουσαν ἀγοράν· ὁ δὲ ὑπήντησε καὶ βουλομένῳ τὴν πόλιν ἱστορεῖν (ἦν γάρ μοι τοῦτο πρόσχημα τοῦ φοιτᾶν εἰς τὰ ἱερὰ) περιηγητής τε ἐγένετο καὶ ἐξενάγησέ με πανταχοῦ. Ἄκουε τοίνυν ἔργα καὶ λόγους, ἀφ᾽ ὧν ἄν τις εἰκάσειεν οὐκ ἀγνώμονα τὰ πρὸς τοὺς θεοὺς αὐτόν.

Ἡρῷόν ἐστιν Ἕκτορος, ὅπου χαλκοῦς ἕστηκεν ἀνδριὰς ἐν ναΐσκῳ βραχεῖ. Τούτῳ τὸν μέγαν ἀντέστησαν Ἀχιλλέα κατὰ τὸ ὕπαιθρον· εἰ τὸν τόπον ἐθεάσω, γνωρίζεις δήπουθεν ὃ λέγω. Τὴν μὲν οὖν ἱστορίαν, δι᾽ ἣν ὁ μέγας Ἀχιλλεὺς ἀντιτεταγμένος αὐτῷ πᾶν τὸ ὕπαιθρον κατείληφεν, ἔξεστί σοι τῶν περιηγητῶν ἀκούειν. Ἐγὼ δὲ καταλαβὼν ἐμπύρους ἔτι, μικροῦ δέω φάναι λαμπροὺς ἔτι τοὺς βωμοὺς καὶ λιπαρῶς ἀληλιμμένην τὴν τοῦ Ἕκτορος εἰκόνα, πρὸς Πηγάσιον ἀπιδών· « τί ταῦτα ; » εἶπον, « Ἰλιεῖς θύουσιν ; » ἀποπειρώμενος ἠρέμα ὡς ἔχει γνώμης. Ὁ δέ· « καὶ τί τοῦτο ἄτοπον, ἄνδρα ἀγαθὸν ἑαυτῶν πολίτην, ὥσπερ ἡμεῖς », ἔφη, « τοὺς μάρτυρας, εἰ θεραπεύουσιν ; » Ἡ μὲν οὖν εἰκὼν οὐχ ὑγιής, ἡ δὲ προαίρεσις ἐν ἐκείνοις ἐξεταζομένη τοῖς καιροῖς ἀστεία. Τί δὴ τὸ μετὰ τοῦτο ; « Βαδίσωμεν, » ἔφην, « ἐπὶ τὸ τῆς Ἰλιάδος Ἀθηνᾶς τέμενος ». Ὁ δὲ καὶ μάλα προθύμως ἀπήγαγέ με καὶ ἀνέῳξε τὸν νεών, καὶ ὥσπερ μαρτυρόμενος ἐπέδειξέ μοι πάντα ἀκριβῶς σῶα τὰ ἀγάλματα, καὶ ἔπραξεν οὐθὲν ὧν εἰώθασιν οἱ δυσσεβεῖς ἐκεῖνοι πράττειν, ἐπὶ τοῦ μετώπου τοῦ δυσσε-

---

H

4 <μοι> καὶ Hertlein || **10** Τούτῳ τὸν μέγαν ἀντέστησαν Henning : τούτου τὸν μέγαν ἔστησαν cod. || **15** ἐμπείρους cod., corr. Henning || μικροῦ e μακροῦ corr. cod. || **15/16** ἔτι τοὺς βωμοὺς Henning : ἐπὶ τοῦ βωμοῦ cod. || **18** ὡσ cod. : πῶσ Henning || **21** Ἡ μὲν Henning : εἰ μὲν cod. || **25** μαρτυρούμενος Henning || **27** sq. τὸ ὑπόμνημα τοῦ δυσσεβοῦς transp. Henning

βοῦς τὸ ὑπόμνημα σκιογραφοῦντες, οὐδὲ ἐσύριττεν, ὥσπερ ἐκεῖνοι, αὐτὸς καθ' ἑαυτόν· ἡ γὰρ ἄκρα θεολογία παρ' αὐτοῖς ἐστι δύο ταῦτα, συρίττειν τε πρὸς τοὺς δαίμονας καὶ σκιογραφεῖν ἐπὶ τοῦ μετώπου τὸν σταυρόν.

Δύο ταῦτα ἐπηγγειλάμην εἰπεῖν σοι· τρίτον δὲ ἐλθὸν ἐπὶ νοῦν οὐκ οἶμαι χρῆναι σιωπᾶν· ἠκολούθησέ μοι καὶ πρὸς τὸ Ἀχίλλειον ὁ αὐτός, καὶ ὑπέδειξε τὸν τάφον σῶον· ἐπεπείσμην δὲ καὶ τοῦτον ὑπ' αὐτοῦ διεσκάφθαι· ὁ δὲ καὶ μάλα σεβόμενος αὐτῷ προσῄει. Ταῦτα εἶδον αὐτός· ἀκήκοα δὲ παρὰ τῶν νῦν ἐχθρῶς ἐχόντων πρὸς αὐτὸν ὅτι καὶ προσεύχοιτο λάθρᾳ καὶ προσκυνοίη τὸν Ἥλιον. Ἆρα οὐκ ἂν ἐδέξω με καὶ ἰδιώτην μαρτυροῦντα; Τῆς περὶ τοὺς θεοὺς διαθέσεως ἑκάστου τίνες <ἂν> εἶεν ἀξιοπιστότεροι μάρτυρες αὐτῶν τῶν θεῶν; Ἡμεῖς ἱερέα Πηγάσιον ἐποιοῦμεν <ἄν>, εἰ συνεγνώκειμεν αὐτῷ τι περὶ τοὺς θεοὺς δυσσεβές; Εἰ δὲ ἐν ἐκείνοις τοῖς χρόνοις, εἴτε δυναστείας ὀρεγόμενος, εἴθ', ὅπερ πρὸς ἡμᾶς ἔφη πολλάκις, ὑπὲρ τοῦ σῶσαι τῶν θεῶν τὰ ἕδη, τα ῥάκια ταῦτα περιαμπέσχετο καὶ τὴν ἀσέβειαν μέχρις ὀνόματος ὑπεκρίνατο (πέφηνε γὰρ οὐδὲν οὐδαμοῦ τῶν ἱερῶν ἠδικηκὼς πλὴν ὀλίγων παντάπασι λίθων ἐκ καταλύματος, ἵνα αὐτῷ σώζειν ἐξῇ τὰ λοιπά), τοῦτο ἐν λόγῳ ποιούμεθα, καὶ οὐκ αἰσχυνόμεθα ταὐτὰ περὶ αὐτὸν πράττοντες ὅσαπερ Ἀφόβιος ἐποίει καὶ οἱ Γαλιλαῖοι πάντες προσεύχονται πάσχοντα ἰδεῖν αὐτόν; Εἴ τί μοι προσέχεις, οὐ τοῦτον μόνον, ἀλλὰ καὶ τοὺς ἄλλους, οἳ μετατέθεινται, τιμήσεις, ἵν' οἱ μὲν ῥᾷον ὑπακούσωσιν ἡμῖν ἐπὶ τὰ καλὰ προκαλουμένοις, οἱ δ' ἧττον χαίρωσιν· εἰ δὲ τοὺς

H

1 σκιαγραφοῦντες et **3 4** σκιαγραφεῖν Henning, cf. 78 D et *C. Galil.* 194 C || **2** αὐτὸς καθ' ἑαυτόν Henning: αὐτοὺς καθ' ἑαυτῶν cod. || **5** τρίτον, τρ e correctione, cod. || **7** ἀπέδειξε Henning || **7/8** ἐπεπύσμην Henning || **9** σεβόμενος cod., corr. Henning || **12** τοὺς Henning: τῆς in ras. cod. || **13** <ἂν> Hertlein || **15** <ἂν> supplevimus || **18** περιημπίσχετο? Hertlein || **22** ταῦτα cod., corr. Hertlein || **23** ἐποίει, ποί e correctione, cod. || **27** χαίρουσιν cod., corr. Henning

αὐτομάτους ἰόντας ἀπελαύνοιμεν, οὐδεὶς ὑπακούσεται ῥᾳδίως παρακαλοῦσιν.

---

80 [ep. 1*].

Haec epistula medio in itinere (p. 96, 5) mense Iunio vel Iulio a. 362 scripta est, cum Iulianus Constantinopoli in Syriam profectus erat (p. 96, 11), avunculum homonymum visurus (p. 98, 18 sq.), qui comes Orientis nuper creatus tunc Antiochiae agebat (*Misop.*, 365 C et 371 A; Philostorg., p. 82, 18 sq. ed. Bidez; Liban., *Epist.* 736, etc.; cf. Seeck, BLZG, p. 189 sq.). — Continuo de diversis negotiis rescribit imperator. Post excusationes et laudes quasdam primum (p. 96, 15 sq.) de templo Apollinis Daphnaei reficiendo, quem ambitioso circumdari peristylio iusserat (Ammian. Marc., XXII, 13, 2), sermonem habet (cf. Sievers, *Libanius*, p. 106, adn. 20). — P. 96, 24 sq. agit de contentione quadam orta inter Iulianum, comitem Orientis, et Lauracium (vel fortasse Lauricium, comitem et ducem Isauriae, de quo v. Ammian. Marc., XIX, 13, 2; Socrat., II, 39, 6 et 40, 2, etc.; cf. Seeck, BLZG, p. 194), hominem de republica bene meritum, sed qui libellos contumeliosos ad summum magistratum miserat (p. 97, 2 sq.) et eum incusaverat quod epistulas imperatoris divulgasset (p. 97, 11 sq.). — Pauca deinde adicit scriptor de pravo quodam medico (p. 98, 15 sq.) et de agris dandis (cf. *Misop.*, 370 D).

Ἰουλιανῷ θείῳ.

Εἰ τὰς σὰς ἐπιστολὰς ἐγὼ παρὰ φαῦλον ποιοῦμαι,

ἐξ ἄρα δή μοι ἔπειτα θεοὶ φρένας ὤλεσαν αὐτοί.

Τί γὰρ οὐκ ἔνεστιν ἐν τοῖς σοῖς καλόν; εὔνοια, πίστις, ἀλήθεια, καὶ τὸ πρὸ τούτου, οὗ χωρὶς οὐδέν ἐστι τἆλλα, φρόνησις ἅπασι τοῖς ἑαυτῆς μέρεσιν, ἀγχινοίᾳ, συνέσει, εὐβουλίᾳ

---

27 Homer. H 360 et M 234 29 sq. cf. Aristot. *De virt. et vit.* 1250ᵃ 38 sq.

[1 — 2] H — [25 sq.] XY

25 αὐτοῦ post θείῳ add. Y || 27 μοι : τοι Homer. || 29 τούτων? Papadopoulos

διαδεικνυμένη. Ὅτι δὲ οὐκ ἀντιγράφω (τοῦτο γὰρ καὶ κατεμέμψω), σχολὴν οὐκ ἄγω μὰ τοὺς θεούς· καὶ μὴ νομίσῃς ἀκκισμὸν εἶναι μηδὲ παιδιὰν τὸ πρᾶγμα. Μαρτύρομαι τοὺς λογίους θεοὺς ὅτι πλὴν Ὁμήρου καὶ Πλάτωνος οὐκ ἀκολουθεῖ μοι πυκτίον οὔτε φιλόσοφον οὔτε ῥητορικὸν οὔτε γραμματικόν, οὐθ᾽ ἱστορία τις τῶν ἐν κοινῇ χρείᾳ· καὶ ταῦτα δὲ αὐτὰ τοῖς περιάπτοις ἔοικε καὶ φυλακτηρίοις· δέδεται γὰρ ἀεί. Ὀλίγα λοιπὸν καὶ εὔχομαι, καίτοι δεόμενος, ὡς εἰκός, εἴ πέρ ποτε ἄλλοτε καὶ νῦν εὐχῶν πολλῶν πάνυ καὶ μεγάλων· ἀλλ᾽ ἄγχει πάντοτε περιεχόμενα τὰ πράγματα· ὄψει δὲ ἴσως καὶ αὐτός, ὅταν εἰς τὴν Συρίαν γένωμαι.

Περὶ δὲ ὧν ἐπέστειλάς μοι, πάντα ἐπαινῶ, πάντα θαυμάζω. † ἐν οἷς † οὐδέν ἐστιν ἀπόβλητον ἐξ ἐκείνων· ἴσθι οὖν ὅτι καὶ πάντα πράξω σὺν θεοῖς. Τοὺς κίονας τοὺς Δαφναίους θοῦ πρὸ τῶν ἄλλων· τοὺς ἐκ βασιλείων τῶν πανταχοῦ λαβὼν ἀποκόμισον· ὑπόστησον δὲ εἰς τὰς ἐκείνων χώρας τοὺς ἐκ τῶν ἔναγχος κατειλημμένων οἰκιῶν· εἰ δὲ κἀκεῖθεν ἐπιλείποιεν, <στῆσον> ὀπτῆς πλίνθου καὶ κόνεως, ἕως <ἂν> ἔξωθεν μαρμαρώσαντες ἐντελεστέροις χρησώμεθα. Τὸ δὲ αἴσιον ὅτι πολυτελείας ἐστὶ κρεῖττον καὶ τοῖς εὖ φρονοῦσιν ἡδονὴν ἐν βίῳ καὶ τῇ χρήσει ἔχον πολλήν, αὐτὸς οἶδας.

Περὶ δὲ τῶν πρὸς Λαυράκιον οὐθὲν οἶμαι δεῖν ἐπιστέλλειν σοι, πλὴν τοσοῦτον παραινῶ· πᾶσαν ὀργὴν ἄφες, ἐπίτρεψον ἅπαντα τῇ δίκῃ, τὰς ἀκοὰς ὑφέξων αὐτοῦ τοῖς λόγοις

XY [in Y plurima desunt]

5 οὔτε φιλόσοφον — **6** χρείᾳ om. Y || **8** ὀλίγα — καίτοι om. Y || **10** ἀλλ᾽ ἄγχει — p. **97, 1** δίκαιον om. Y || **11** εἰσ ^{τὴν} συρίαν cod. || **14** ἐν οἷσ cod.: ἃ ἐννοεῖς Weil || **19** <στῆσον> supplevimus: spatium vacuum quattuor fere litt. praebet cod. || **20** <ἂν> supplevimus || **21** αἴσιον: αἰδέσιμον? P. Thomas: an ὅσιον? || **26** β supra αὐτοῦ et α supra τοῖς scripta in cod.

μετὰ πάσης πίστεως τῆς πρὸς τὸ δίκαιον. Καὶ οὔ φημι τοῦτο, ὡς οὐκ ἐπαχθῆ τὰ πρός σε γραφέντα καὶ πλήρη πάσης ὕβρεως καὶ ὑπεροψίας· ἀλλὰ χρὴ φέρειν. Ἀνδρὸς γάρ ἐστιν ἀγαθοῦ καὶ μεγαλοψύχου « ἀκούειν μὲν κακῶς, λέγειν δὲ μὴ κακῶς ». Ὥσπερ γὰρ τὰ βαλλόμενα πρὸς τοὺς στερεοὺς καὶ γενναίους τοίχους ἐκείνοις μὲν οὐ προσιζάνει, οὐδὲ πλήττει, οὐδὲ ἐγκάθηται, σφοδρότερον δὲ ἐπὶ τοὺς βάλλοντας ἀνακλᾶται, οὕτω πᾶσα λοιδορία καὶ βλασφημία καὶ ὕβρις ἄδικος ἀνδρὸς ἀγαθοῦ καταχεθεῖσα θιγγάνει μὲν οὐδαμῶς ἐκείνου, τρέπεται δὲ ἐπὶ τὸν καταχέοντα. Ταῦτά σοι παραινῶ, τὰ δὲ ἑξῆς ἔσται τῆς κρίσεως. Ὑπὲρ δὲ τῶν ἐμῶν ἐπιστολῶν, ἅς φησί σε λαβόντα παρ᾽ ἐμοῦ δημοσιεῦσαι, γελοῖον εἶναί μοι φαίνεται φέρειν εἰς κρίσιν· οὐθὲν γὰρ ἐγὼ μὰ τοὺς θεοὺς πρός σε πώποτε γέγραφα, οὔτε πρὸς ἄλλον ἄνθρωπον οὐδένα, ὃ μὴ δημοσίᾳ τοῖς πᾶσι προκεῖσθαι βούλομαι. Τίς γὰρ ἀσέλγεια, τίς ὕβρις, τίς προπηλακισμός, τίς λοιδορία, τίς αἰσχρορρημοσύνη ταῖς ἐμαῖς ἐπιστολαῖς ἐνεγράφη ποτέ ; ὅς γε, καὶ εἴ πρός τινα τραχύτερον εἶχον, διδούσης μοι τῆς ὑποθέσεως ὥσπερ ἐξ ἁμάξης εἰπεῖν οἷα ψευδῶς ἐπὶ τοῦ Λαυδακίδου Ἀρχίλοχος, σεμνότερον αὐτὰ καὶ σωφρονέστερον ἐφθεγξάμην, ἢ εἴ τις ἱερὰν ὑπόθεσιν μετῄει. Εἰ δὲ τῆς ὑπαρχούσης πρὸς ἀλλήλους ἡμῖν εὐνοίας ἔμφασιν εἶχε τὰ γράμματα, τοῦτο ἐγὼ λανθάνειν ἠβουλόμην ἢ ἀποκρύπτεσθαι ; διὰ τί ; Μάρτυρας ἔχω τοὺς θεοὺς πάντας τε καὶ πάσας ὅτι καὶ ὅσα μοι πρὸς τὴν γαμετήν, οὐκ ἂν

16 cf. Demosth. XVIII 12.

XY [Y desinit 10 καταχέοντα]

4 in margine γνωμικόν cod. ; unde haec hauserit Iulianus, non reperimus || 9 καταχυθεῖσα Papadopoulos || 13 μὰ Papadopoulos : διὰ cod. || 18 εἶχον Bücheler : ἔχων cod. || 20 Λαυδακίδου cod. : Λυκάμβου Weil || αὐτὰ scripsimus : αὐτ(ὸν) vel αὐτὰ cod. || 21 ante εἴ τις una littera evanida in cod., ἢ restituimus || 22 πρὸς ἀλλήλους in marg., β supra ἡμῖν et α supra πρὸς scripto, cod. || 25 γαμετὴν <γράμματ᾽ ἦν> vel <ἐγέγραπτο> Bücheler

ἠχθέσθην εἴ τις ἐδημοσίευσεν, οὕτως ἦν πάντα σωφροσύνης πλήρη· εἰ δὲ ἃ πρὸς τὸν ἐμαυτοῦ θεῖον ἐπέστειλα, ταῦτα καὶ ἄλλος τις ἀνέγνω καὶ δεύτερος, ὁ πικρῶς οὕτως ἀνιχνεύσας αὐτὰ δικαιοτέραν ἂν ὑπόσχοι μέμψιν ἢ ὁ γράψας ἐγώ, ἢ σὺ ἢ καὶ ἄλλος ἀναγνούς. Πλὴν ἀλλὰ τοῦτο συγχώρει καὶ μὴ ταραττέτω σε, σκόπει δὲ ἐκεῖνο μόνον· πονηρός ἐστι Λαυράκιος; ὑπέξελθε γενναίως αὐτόν· εἰ δὲ ἐπιεικὴς καὶ μέτριός ἐστι καὶ ἥμαρτε περὶ σέ, δὸς αὐτῷ συγγνώμην. Τοὺς γὰρ ἀγαθοὺς δημοσίᾳ, κἂν ἰδίᾳ περὶ ἡμᾶς οὐ καθήκοντες γένωνται, φιλεῖν χρή· τοὺς πονηροὺς δὲ ἐν τοῖς κοινοῖς, κἂν ἡμῖν κεχαρισμένοι, διὰ χειρὸς ἔχειν· οὐ μισεῖν οὐδὲ ἐκτρέπεσθαί φημι, φυλακὴν δὲ προβεβλῆσθαί τινα, ὅπως μὴ λήσωσι κακουργοῦντες· εἰ δὲ δυσφύλακτοι λίαν εἶεν, χρῆσθαι πρὸς μηδὲν αὐτοῖς.

Ὑπὲρ οὗ γέγραφας καὶ αὐτός, ὅτι θρυλλούμενος ἐπὶ πονηρίᾳ τὴν ἰατρικὴν ὑποκρίνεται, ἐκλήθη μὲν παρ' ἡμῶν ὡς σπουδαῖος, πρὶν <δὲ> εἰς ὄψιν ἐλθεῖν, φωραθεὶς ὅστις ἦν, μᾶλλον δὲ καταμηνυθείς (τὸ δὲ ὑπὸ τίνος αὐτὸς ἐντυχὼν φράσω σοι), κατεφρονήθη· σοὶ δὲ καὶ ὑπὲρ τούτου χάριν οἶδα.

Τῶν αἰτηθέντων ἀγρῶν, ἐπειδή περ ἔφθην ἐκείνους δεδωκώς (εἰσὶ δέ μοι μάρτυρες ὁμόγνιοι καὶ φίλιοι θεοί), δώσω μακρῷ λυσιτελεστέρους· αἰσθήσῃ δὲ καὶ αὐτός.

---

81 [ep. 21].

Petavius (ad *Orat.* V) iam coniecit Iulianum, eo tempore quo

---

XY [Y 6 σκόπει — 10 χρή]

4 δικαιοτάτην ἂν ὑπόσχῃ cod., corr. Weil || **5** ἢ καὶ ἄλλος Papadopoulos : ὁ καὶ ἄλλως cod. || **7** ἐστι Λαυράκιος : ἐστιν et in margine περὶ λαυρακίου λέγει Y || ὑπέξελθε — αὐτῷ Usener || **12** προβέβλησό cod., corr. Bücheler || **17** <δὲ> Papadopoulos || **19** post κατεφρονήθη cod. praebet duo puncta quae forsan corruptelam indicant || **22** φίλιοι Weil : φίλοι cod.

Pessinunte Matris deum delubra veneratus est (Ammian. Marc., XXII, 9, 5), i. e. mense Iulio a. 362, sacris illius restitutis Callixenam praefecisse antistitem. Quod veri quandam speciem habet (cf. tamen infra, p. 115, 20 sq.). Callixenae sacerdotis nusquam alibi mentionem invenimus.

Ἰουλιανὸς Καλλιξείνῃ ἱερείᾳ Μητρὸς θεῶν. 388 c

« Χρόνος δίκαιον ἄνδρα δείκνυσιν μόνος », ὡς παρὰ τῶν
ἔμπροσθεν ἔγνωμεν· ἐγὼ δὲ φαίην <ἂν> ὅτι καὶ τὸν εὐ-
σεβῆ καὶ τὸν φιλόθεον. Ἀλλ' ἐμαρτυρήθη, φησί, καὶ ἡ Πηνε-
λόπη φίλανδρος· εἶτα [μετὰ] τοῦ φιλάνδρου τὸ φιλόθεόν τις ἐν
γυναικὶ δεύτερον τίθησι, καὶ οὐ φανεῖται πολὺν πάνυ τὸν
μανδραγόραν ἐκπεπωκώς; Εἰ δὲ καὶ τοὺς καιρούς τις ἐν
νῷ λάβοι, καὶ τὴν μὲν Πηνελόπην ἐπαινουμένην σχεδὸν ὑπὸ d
πάντων ἐπὶ τῇ φιλανδρίᾳ, κινδυνευούσας δὲ τὰς θεοσεβεῖς
ὀλίγῳ πρότερον γυναῖκας, καὶ προσθείη δὲ τῶν κακῶν ὅτι
καὶ διπλάσιος ὁ χρόνος, ἆρ' ἔστι σοὶ τὴν Πηνελόπην ἀξίως
παραβάλλειν; Ἀλλὰ μὴ μικροὺς ποιοῦ τοὺς ἐπαίνους, ἀνθ'
ὧν ἀμείψονται μέν σε πάντες οἱ θεοί, καὶ τὰ παρ' ἡμῶν δὲ
διπλῇ σε τιμήσομεν τῇ ἱερωσύνῃ· πρὸς ᾗ πρότερον εἶχες 389
τῆς ἁγιωτάτης θεοῦ Δήμητρος, καὶ τῆς μεγίστης Μητρὸς

7 Sophocl. *Œdip. R.* 614. Cf. Apostol. *Centur.* XVIII 41[b].
*11 καὶ — 12 ἐκπεπωκώς Suidas *s. v.* Μανδραγόρας.

HU

6 sic U : om. H ‖ 7 δείκνυσι codd., corr. Hertlein ‖ μόνος H = Sophocl. : μόνον U ‖ 8 <ἂν> supplevimus ‖ 9 ἐμαρτυρήθη : « videtur intercidisse τῷ χρόνῳ » Hercher ‖ an φασί? ‖ 10 [μετὰ] P. Thomas; μετὰ τὸ φίλανδρον excogitaverat Reiske ‖ τις : ἦθος H ‖ 11 θήσει? Hercher ‖ οὐ om. Suidas ‖ φαίνεται Klimek ‖ πάνυ om. Suidas ‖ 12 μανδραγόραν Suidas : μανδραγόραν ἂν H μανδ....ραν ἂν U ‖ ἐκπεπωκώς U et Suidas : ἐκπεπτωκώς H ‖ 15 προσθείη Hercher : προσθήκη codd. ‖ 18 σε U : σοι H ‖ [καὶ] Hercher ‖ τὸ Hertlein ‖ 19 πρὸς <γὰρ> ᾗ, « aut, manentibus reliquis immotis, in exitu epistolae legendum erit ἐπιτρέποντές σοι » Reiske πρὸς ᾗ <γὰρ> Hercher

θεῶν τῆς Φρυγίας ἐν τῇ θεοφιλεῖ Πισσινοῦντι τὴν ἱερωσύνην ἐπιτρέπομέν σοι.

DE LEGIBUS EPISTULIS ET LIBRIS A IULIANO ANTIOCHIAE SCRIPTIS

Liban., *Orat.* XVII, 18 : Οὗ (scil. Antiochiae) δὴ μυρίαι μὲν δικαζόμεναι δίκαι, πολλῶν δὲ θέσεις νόμων, βιβλίων δὲ συγγραφαὶ βοηθούντων θεοῖς (quae praecipue de libris « κατὰ Γαλιλαίων » intelligenda sunt : cf. Liban., *Orat.* XVIII, 178).

Ibid., XVIII, 174 : Τοιούτοις μὲν σωτῆρσιν ἐφυλάττετο (scil. ὁ Ἰουλιανὸς) καὶ τὰ πολλὰ συνῆν, νήφων δὲ συνεχῶς καὶ τὴν γαστέρα οὐ βαρύνων τοῖς περιττοῖς τούτοις φορτίοις, ὥσπερ πτηνός, διὰ τῶν πραγμάτων ἤρχετο πρεσβείαις ἀποκρινόμενος συχναῖς ἐπὶ μιᾶς ἡμέρας, πόλεσιν ἐπιστέλλων, στρατοπέδων ἄρχουσι, πόλεων ἄρχουσι, φίλοις ἀποδημοῦσι, φίλοις ἐπιδημοῦσιν (imprimis Libanio ipsi ; cf. infra p. 151 sq.), ἀκούων ἐπιστολῶν, δοκιμάζων αἰτήσεις, βραδείας ἀποφαίνων χεῖρας ὑπογραφέων τῷ τάχει τῆς γλώττης. Μόνος δὲ ἐκεῖνος τριῶν ἔργων εἰργάσατο σύνοδον, ἀκοῆς, λόγου, γραφῆς· τῷ μὲν γὰρ ἀναγινώσκοντι τὰ ὦτα παρεῖχε, τῷ γράφοντι δὲ τὴν φωνήν, τοῖς δὲ αὐτοῦ ζητοῦσι γράμματα τὴν δεξιάν.

82-98. EPISTULAE SCRIPTAE POSTQUAM IULIANUS ANTIOCHIAM HIEMATURUS ADVENIT

82 [ep. 59].

Hoc scriptum significat Libanii *Epist.* 758 (cf. p. 101, 12 sq.) sub finem a. 362 scripta, et *Orat.* XVIII, 198 : ταὐτὸν (scil. idem quod in *Misopogone*), οἶμαι, καὶ πρόσθεν πεποιηκὼς (scil. ὁ Ἰουλιανὸς) πρὸς ἄνδρα Ῥωμαῖον θρασυνόμενόν τι τοιοῦτον, ἐφ᾽ ᾧ δικαίως ἄν, εἰ καὶ μηδὲν ἕτερον, ἐξέ-

HU

1 θεῶν Hertlein (cf. titul. epistulae) : θεᾶς codd. | πισσινοῦντι U συνοῦντι H Πεσσινοῦντι Heyler ; cf. infra p. 115, 20

πεσε τῶν ὄντων· ὁ δὲ τῆς μὲν οὐσίας οὐκ ἀπεστέρησε, βέλει δὲ αὐτὸν ἔβαλεν ἐπιστολῆς. Inde Nilum (vel Dionysium: cf. p. 104, 6 et 15; 106, 20), senatorem Romanum (cf. p. 110, 3 sq.), unum e Cynicis (? cf. J. Geffcken, *Kaiser Julianus*, p. 158 sq.) imperatoris detrectatoribus fuisse existimavit Asmus (*Archiv für Gesch. der Philos.*, XV, 1902, p. 425 sq.; cf. etiam *Philologus*, LXXI, 1912, p. 376 sq.). Conflatum esse ab amanuensibus hoc scriptum ex duabus Iuliani epistulis, quod coniecit Asmus, nobis parum constare videtur; certe ante finem a. 362 (cf. supra p. 100, 26 sq.) editum est, neque multo ante Libanii epistulam 758, ubi de Nili repulsa velut recenti agitur (καὶ φόβος εὐθὺς μή... Ἀριστοφάνει... τὸ Νείλου περιστήσῃς κακόν; cf. infra p. 155, 18 sq.).

Hanc epistulam mancam et epistulae 59 (cf. p. 64) errore iunctam ex codice Parisino 2832 (cf. *Recherches*, p. 55 et 112 sq.) ad familiam b pertinente prius ediderat Rigaltius (Rig.[1] = ed. 1601), dein duarum epistularum fragmenta separavit et emendatiora (ex Parisino 2131) reddidit (Rig.[2] apud Petavium, p. 223 sq.); integram ex L edidit Fabricius, *Salutaris lux Evangelii*, 1731, p. 326 sq. (cf. *Recherches*, p. 115 sq.).

Ἰουλιανὸς κατὰ τοῦ Νείλου.

Ἀμείνων ἦσθα σιωπῶν πρότερον ἢ νῦν ἀπολογούμενος· 443 a
οὐδὲ γὰρ ἐλοιδοροῦ τότε, καίτοι διανοούμενος ἴσως αὐτό, νυνὶ δὲ ὥσπερ ὠδίνων τὴν καθ' ἡμῶν λοιδορίαν ἄθρουν ἐξέχεας. Ἦ γὰρ οὐ χρή με καὶ λοιδορίαν αὐτὸ καὶ βλασφημίαν d
νομίζειν, ὅτι με τοῖς σαυτοῦ φίλοις ὑπέλαβες εἶναι προσ-

*24/25 ὠδίνων — ἐξέχεας Suidas *s. v.* Ὠδῖνον.

L BNO = b

21 Ἰουλιανός — **22** ἀπολογούμενος om. b, ubi verba οὐ (sic) γὰρ ἐλοιδοροῦ sine spatio verba τί οὖν (supra p. 64, 18) epistulae 59 sequuntur || **21** ἰουλιανὸς κατὰ τοῦ νείλου L (cf. Liban. infra p. 155, 19: τὸ Νείλου κακόν): titulum Διονυσίῳ suppleverunt e p. 104, 6 et 106, 20 Rig.[2] et omnes inde editores || **24** νυνὶ — **25** αὐτό om. b || **24** ἄθρουν Suidas: ἄθροον cod. ἀθρόον Fabricius ἀθρόαν Hertlein || **26** νομίζω BN νομίζων O || τοῖς b: τῆς L || σαυτοῦ L: ἑαυτοῦ b || ὑπελάμβανες L

ὅμοιον, ὧν ἑκατέρῳ δέδωκας σεαυτὸν ἄκλητον, μᾶλλον δὲ τῷ μὲν ἄκλητον, τῷ προτέρῳ, τῷ δευτέρῳ δὲ ἐνδειξαμένῳ μόνον ὅτι σε συνεργὸν ἐθέλει προσλαβεῖν, ὑπήκουσας; Ἀλλ᾽ εἰ μὲν ἐγὼ προσόμοιός εἰμι Κώνσταντι καὶ Μαγνεντίῳ, τὸ πρᾶγμα αὐτό, φασί, δείξει· σὺ δ᾽ ὅτι κατὰ τὸν κωμικὸν

444 σαυτὴν ἐπαινεῖς ὥσπερ Ἀστυδάμας, γύναι,

πρόδηλόν ἐστιν ἐξ ὧν ἐπέστειλας. Ἡ γὰρ « ἀφοβία » καὶ τὸ « μέγα θάρσος » καὶ τὸ « εἴθε με γνοίης ὅσος καὶ οἷός εἰμι », καὶ πάντα ἁπλῶς τὰ τοιαῦτα, βαβαί, πηλίκου κτύπου καὶ κόμπου ῥημάτων ἐστίν; Ἀλλὰ καὶ πρὸς τῶν Χαρίτων καὶ τῆς Ἀφροδίτης, εἰ τολμηρὸς οὕτως εἶ καὶ γενναῖος, τί « καὶ τρίτον εὐλαβήθης », ἂν δέῃ, « προσκρούειν »; Οἱ γὰρ τοῖς κρατοῦσιν ἀπεχθανόμενοι, τὸ μὲν κουφότατον καί, ὡς ἂν εἴποι τις, ἥδιστον τῷ γε νοῦν ἔχοντι, τοῦ πράγματα ἔχειν ταχέως ἀπαλλάττονται, μικρὰ δὲ εἰ χρὴ προσζημιωθῆναι, περὶ τὰ χρήματα πταίουσι· τὸ δὲ κεφάλαιόν ἐστι τῆς ὀργῆς καὶ τὸ παθεῖν, φασί, τὰ ἀνήκεστα, τὸ ζῆν προέσθαι. Τούτων δὴ πάντων ὑπερορῶν, ὅτι καὶ τὸν ἰδίως...... ἐπέγνωκας καὶ τὸν κοινῶς καὶ γενικῶς

---

5 cf. Suidas *s. v.* Αὐτὸ δείξει. Iulian. 307 A || **6** cf. Philemon. *Fr.* 190 Kock. Suidas et Phot. *Lexic. s. v.* Σαυτήν. Zenob. *Centur.* V 100. Iulian. supra p. 40, 10, etc. || **12** sq. cf. Suidas *s. v.* Δίς. Zenob. *Centur.* III 29 || **17** sq. cf. supra p. 34, 11.

***1/2** δέδωκας σεαυτὸν ἄκλητον τῷ δευτέρῳ Suidas *s. v.* Ἄκλητον.

L [**1-12**] BNO = b

1 ὧν om. L || μᾶλλον — **2** ἄκλητον om. L || **2** τῷ μὲν Reiske : τὸ μὲν codd. || **3** σε om. L || ἐθέλει codd. ; an ἐθέλοι? || ὑπήκουσας om. L || **6** σαυτόν L || γύναι b : om. L || **8** θράσος b || ὅσος καὶ om. b || **10** εἰσὶν b || Ἀλλὰ καὶ : Ἀλλ᾽ ἄγε? P. Thomas || **11** εἰ L : εἰ καὶ b || οὕτως εἶ Cobet : οὕτοσι L οὕτως N οὕτω BO || **12** τί καὶ — p. **103, 10** ἐργαστήριον πολέμου om. b, verbis καὶ μετ᾽ ὀλίγον lacuna indicata || **12** ηὐλαβήθης Hercher || **15** πράγματος cod., corr. Hertlein || **17/18** « καὶ transponam ante τὸ ζῆν » Hertlein || **19** post ἰδίως spatium vacuum septem litt. in cod. ; an ἰδίως, <ὡς λέγεις>?

ἄνθρωπον ὑφ᾽ ἡμῶν τῶν ὀψιμαθῶν ἀγνοούμενον, ἀνθ᾽ ὅτου, πρὸς τῶν θεῶν, εὐλαβεῖσθαι ἔφης « μὴ τρίτον προσκρούσῃς » ; οὐ γὰρ δὴ πονηρὸν ἐκ χρηστοῦ σε ποιήσω χαλεπήνας ἐγώ· ζηλωτὸς γὰρ <ἂν> ἦν ἐν δίκῃ τοῦτο δυνάμενος· ἦ γάρ, ὥς φησι Πλάτων, καὶ τοὐναντίον οἷός τε ἦν ἄν. Ἀδεσπότου δὲ τῆς ἀρετῆς οὔσης, ἐχρῆν ὑπολογίζεσθαι μηδὲν τῶν τοιούτων.

Ἀλλ᾽ οἴει μέγα τὸ πάντας μὲν βλασφημεῖν, πᾶσι δὲ ἁπλῶς λοιδορεῖσθαι, καὶ τὸ τῆς εἰρήνης τέμενος ἀποφαίνειν ἐργαστήριον <πολέμου>. Ἦ τοῦτο νομίζεις ὑπὲρ τῶν παλαιῶν ἁμαρτημάτων ἀπολογεῖσθαι πρὸς ἅπαντας, καὶ τῆς **444 b** πάλαι ποτὲ μαλακίας παραπέτασμα τὴν νῦν ἀνδρείαν εἶναί σοι ; Τὸν μῦθον οὐκ ἀκήκοας τὸν Βαβρίου· « γαλῆ ποτ᾽ ἀνδρὸς εὐπρεποῦς ἐρασθεῖσα » ; τὰ δ᾽ ἄλλα ἐκ τοῦ βιβλίου μάνθανε. Πολλὰ εἰπὼν οὐδένα ἂν πείσειας ἀνθρώπων ὡς οὐ γέγονας ὅπερ οὖν γέγονας καὶ οἷον οἱ πολλοὶ πάλαι σε ἠπίσταντο. Τὴν νῦν δὲ ἀμαθίαν καὶ τὸ θάρσος οὐχ ἡ φιλοσοφία μὰ τοὺς θεοὺς ἐνεποίησέ σοι, τοὐναντίον δὲ ἡ διπλῆ **c** κατὰ Πλάτωνα ἄγνοια· κινδυνεύων γὰρ εἰδέναι μηδέν, ὡς οὐδὲ ἡμεῖς, οἴει δὴ πάντων εἶναι σοφώτατος, οὐ τῶν νῦν ὄντων <μόνον>, ἀλλὰ καὶ τῶν γεγονότων. Ἴσως δὲ καὶ

---

5 sq. Plat. *Crito* 44 D || **6** Plat. *Resp.* 617 E || **13** sq. Babrius *Fab.* 32 || **17** cf. Iulian. 225 B || **18** sq. cf. Plat. *Leg.* 863 C ; *Soph.* 229 C ; *Apol.* 21 D. Proclus *In Cratyl.* 65, etc.

L [**10** sq.] BNO = b

4 <ἂν> Hertlein || **5** φησι Fabricius : φασι cod. || **8** μὲν Heyler : μὴ cod. μὴν Fabricius || **10** <πολέμου> Hertlein || τοῦτο LBO : τοῦτον N τούτῳ Horkel || **11** ἀπολογίαν Reiske || ἅπαντα L || **13** οὐκ L : om. b || τὸν Βαβρίου Heyler : τὸν γαβρίου BN τοῦ φαβρίου L om. O || γαλῆ — **14** ἐρασθείσῃ Babrius || **14** τὰ δ᾽ ἄλλα — **17** ἠπίσταντο om., verbis ἐνταῦθα λείπει μικρόν τι in marg. scriptis, L || **15** πείσῃσ codd., corr. Hercher || **17** θράσος b || οὐχ ἡ : οὐχὶ BO || **18** ἐποίησε L || **19** κινδυνεύω L κινδυνεύεις Hercher qui v. 20 δὲ ex L recipit || **20** ὑμεῖσ L || δὴ Asmus : δὲ L om. b || σοφώτερος b || **21** <μόνον> Hertlein

τῶν ἐσομένων· οὕτω σοι πρὸς ὑπερβολὴν ἀμαθίας τὰ τῆς οἰήσεως ἐπιδέδωκεν.

Ἀλλὰ σοῦ μὲν ἕνεκα καὶ ταῦτα τῶν ἱκανῶν εἴρηταί μοι πλείω· δεῖ δὲ ἴσως ἀπολογήσασθαι διὰ σὲ τοῖς ἄλλοις, ὅτι προχείρως ἐπὶ κοινωνίαν σε παρεκάλεσα πραγμάτων·
d <τοῦτ'> οὐ πρῶτος οὐδὲ μόνος ἔπαθον, ὦ Διονύσιε. Ἐξηπάτησε καὶ Πλάτωνα τὸν μέγαν ὁ σὸς ὁμώνυμος, ἀλλὰ καὶ ὁ Ἀθηναῖος Κάλλιππος· εἰδέναι μὲν γὰρ αὐτόν φησι πονηρόν, τηλικαύτην δὲ ἐν αὐτῷ τὸ μέγεθος κακίαν οὐδὲ ἐλπίσαι πώποτε. Καὶ τί δὴ χρὴ λέγειν ὑπὲρ τούτων, ὅπου καὶ τῶν Ἀσκληπιαδῶν ὁ ἄριστος Ἱπποκράτης ἔφη· « ἔσφηλαν δέ μου τὴν γνώμην αἱ ἐν τῇ κεφαλῇ ῥαφαί »; εἶτ' ἐκεῖνοι μὲν ὑπὲρ ὧν ᾔδεσαν ἐξηπατῶντο, καὶ τὸ τεχνικὸν ἐλάνθανε τὸν ἰατρὸν θεώρημα, θαυμαστὸν δέ, εἴπερ Ἰουλιανὸς ἀκούσας ἐξαίφνης ἀνδρίζεσθαι τὸν Νεῖλον ἐξηπατήθη;

445 Ἀκούεις ἐκεῖνον τὸν Ἠλεῖον Φαίδωνα, καὶ τὴν ἱστορίαν ἐπίστασαι· εἰ δὲ ἀγνοεῖς, ἐπιμελέστερον πολυπραγμόνησον, ἐγὼ δὲ οὐκ ἐρῶ τοῦτο. Ἐκεῖνος ἐνόμιζεν οὐδὲν ἀνίατον εἶναι

---

3 sq. cf. Demosth. XVIII 50 || 6 sq. Plat. *Epist.* VII etc. || 7 sq. *Ibid.* 333 E sq.; cf. Plutarch. *Dion.* 54 sq. || 8 sq. cf. Plat. *Epist.* VII 351 DE || 11 Hippocrat. *Epid.* V, t. III 561 Kühn.

L BNO = b

1 τῶν om. b || 2 ἐπιδέδωκεν BN ἐπέδωκε O || 3 τῶν ἱκανῶν L : ἱκανῶς b; cf. Demosth. *l.l.* || 4 δεῖ δὲ L : δ' b || 4/5 punctum ante ὅτι et comma post πραγμάτων Naber || 5 σε om. L || 6 <τοῦτ'> P. Thomas : <ὃ> Reiske || 6/7 ἐξηπάτηκε b || 7 τὸν μέγαν om. b || 7 ἀλλὰ καὶ — 10 πώποτε om. b || 7 ἀλλὰ καὶ <Δίωνα> Hertlein, sed v. 8 (φησι) de Platone, non de Dione agitur || 9 πονηρὸν <ὄντα> Cobet || οὐδ' <ἂν>? Hertlein || 10 δὴ om. L || τούτου NO του (sic) B || ὅπως b || 11 ἄριστος L : κράτιστος b || 12 ἐν τῇ κεφαλῇ L : περὶ τὴν κεφαλὴν b || γραφαὶ L || 13 ἐξηπατοῦντο b || 15 τὸν νεῖλον L : τὸν νεῖλον ἢ διονύσιον b τὸν Διονύσιον (τὸν Νεῖλον deleto) propon. Rig.[1] p. 13; τὸν Νειλῷον ἢ Διονύσιον Rig.[2]; « verba ἢ Διονύσιον glossatori debentur » Heyler || 18 οὐδὲν ἀνίατον εἶναι L : ἀνίατον οὐδένα b

τῇ φιλοσοφίᾳ. πάντας δὲ ἐκ πάντων ὑπ' αὐτῆς καθαίρεσθαι βίων, ἐπιτηδευμάτων, ἐπιθυμιῶν, πάντων ἁπαξαπλῶς τῶν τοιούτων. Εἰ γὰρ τοῖς εὖ πεφυκόσι καὶ καλῶς τεθραμμένοις ἐπήρκει μόνον, οὐδὲν ἂν ἦν θαυμαστὸν τὸ κατ' αὐτήν· εἰ δὲ καὶ τοὺς οὕτω διακειμένους ἀνάγει πρὸς τὸ φῶς, δοκεῖ μοι διαφερόντως εἶναι θαυμάσιον. Ἐκ τούτων ἡ περὶ σέ μοι κατ' ὀλίγον γνώμη, ὡς ἴσασιν οἱ θεοὶ πάντες, ἔρρεπεν ἐπὶ τὸ βέλτιον. Οὔτοι γοῦν οὔτε ἐν πρώτοις οὔτε ἐν δευτέροις τῶν κρατίστων ἐθέμην ἀνδρῶν τὸ κατὰ σέ, ἐπίστασαι ἴσως αὐτός· εἰ δὲ ἀγνοεῖς, τοῦ καλοῦ Συμμάχου πυνθάνου· πέπεισμαι γὰρ ἐκεῖνος ὅτι οὔποτε ἂν ἑκὼν εἶναι ψεύσαιτο, b τὰ πάντα ἀληθίζεσθαι πεφυκώς.

Εἰ δὲ ἀγανακτεῖς ὅτι μὴ πάντων σε προετιμήσαμεν, ἐγὼ μὲν ἐμαυτῷ, ὅτι σε καὶ ἐν ἐσχάτοις ἔταξα, μέμφομαι, καὶ χάριν οἶδα τοῖς θεοῖς πᾶσί τε καὶ πάσαις, οἳ κοινωνῆσαί <σε> πραγμάτων καὶ φίλους ἡμᾶς γενέσθαι διεκώλυσαν. Καὶ γὰρ εἰ πολλὰ περὶ τῆς φήμης οἱ ποιηταί φασιν ὡς ἔστι θεός (ἔστω δέ, εἰ βούλει, δαιμόνιον καὶ τὸ τῆς φήμης), οὐ πάντη προσεκτέον αὐτῇ, διότι πέφυκε τὸ δαιμόνιον οὐ πάντα καθαρὸν οὐδὲ ἀγαθὸν τελείως ὡς τὸ τῶν θεῶν εἶναι γένος, ἀλλ' ἐπικοινωνεῖ πως καὶ πρὸς θάτερον· εἰ δὲ ὑπὲρ

---

3 cf. *Trag. Gr. fragm. adesp.* 545 Nauck | **5** cf. Plat. *Resp.* 521 C
17 sq. cf. Hesiod. *Op.* 764. Iulian. 307 B. etc.
***15/16** Tzetzes *Chiliad.* XIII 546.

L BNO [plurima desunt] = b

2 τῶν ἁπαξαπλῶς transp. b || **4** ἂν om. b || αὐτόν L || εἰ δὲ — **10** πυνθάνου om. b || **5** τοὺς οὕτω Reiske : τοσούτω cod. ; an τοὺς <οὐχ> οὕτω? || **6** « fort. θαυμαστόν » Hertlein || **8** Οὔτοι Sintenis : οὕτω cod. ; οὔπω suspicabatur Heyler || οὔτε — οὔτε Sintenis : οὐδὲ — οὐδὲ cod. || **10** αὐτό cod., corr. Hertlein || **11** ἐκεῖνος om. b || εἶναι om. b || **12** τὰ om. L || **13** Εἰ δὲ — p. **106, 4** ψευδομαρτυριῶν om. b || **13** προυτιμήσαμεν Hertlein || **14** ἐμαυτοῦ cod., corr. Hertlein || **16** <σε> Hertlein || πραγμάτων καὶ φίλους ἡμᾶς Reiske : καὶ φίλους ἡμᾶς πραγμάτων cod. || **17** ante Καὶ γὰρ εἰ lacunam significavit Hertlein

τῶν ἄλλων δαιμόνων οὐ θέμις τοῦτο φάναι. περὶ τῆς φήμης οἶδ' ὅτι λέγων ὡς πολλὰ μὲν ψευδῶς, πολλὰ δὲ ἀληθῶς ἀγγέλλει. οὔποτ' ἂν αὐτὸς ἁλοίην ψευδομαρτυριῶν.

Ἀλλὰ τὴν παρρησίαν τὴν σὴν οἴει τεττάρων εἶναι ὀβολῶν, τὸ λεγόμενον, ἀξίαν; Οὐκ οἶσθα ὅτι καὶ Θερσίτης ἐν τοῖς Ἕλλησιν ἐπαρρησιάζετο. καὶ Ὀδυσσεὺς μὲν αὐτὸν ὁ συνετώτατος ἔπαιε τῷ σκήπτρῳ, τῷ δὲ Ἀγαμέμνονι τῆς Θερσίτου παροινίας ἔλαττον ἔμελεν ἢ χελώνῃ μυιῶν, τὸ τῆς παροιμίας; Πλὴν οὐ μέγα ἔργον ἐστὶν ἐπιτιμᾶν ἄλλοις, ἑαυτὸν δὲ ἀνεπιτίμητον παρασχεῖν. Εἰ δέ σοι ταύτης μέτεστι τῆς μερίδος, ἐπίδειξον ἡμῖν· ἆρ' ὅτε νέος ἔτι ἦσθα, καλὰς ἔδωκας ὑπὲρ σαυτοῦ τοῖς πρεσβυτέροις ὁμιλίας; Ἀλλ' ἐγὼ κατὰ τὴν Εὐριπίδειον Ἠλέκτραν τὰς τοιαύτας σιγῶ τύχας· ἐπεὶ δὲ ἀνὴρ γέγονας καὶ στρατοπέδῳ παρέβαλες, ἔπραξας ὅπως πρὸς τοῦ Διός; Ὑπὲρ τῆς ἀληθείας φῂς προσκρούσας ἀπηλλάχθαι. ἐκ τίνων τοῦτο ἔχων δεῖξαι, ὥσπερ οὐ πολλῶν καὶ πονηροτάτων ὑφ' ὧνπερ καὶ αὐτὸς ἀπηλάθης ἐκτοπισθέντων; Οὐ τοῦτό ἐστιν, ὦ συνετώτατε Διονύσιε, σπουδαίου καὶ σώφρονος ἀνδρός, ἀπεχθανόμενον

5 sq. cf. Apostol. *Centur.* XVI 35 ‖ 14 sq. Euripid. *Orest.* 16.
*5 τὴν παρρησίαν — 10 παροιμίας Suidas *s. v.* Τεττάρων ὀβολῶν (= Suid.[1]), et *s. v.* Χελώνη μυιῶν (= Suid.[2]) unde hausit Apostol. *Centur.* XVI 44 g ‖ 8 τῷ δὲ — 10 παροιμίας Apostol. *Centur.* XVII 43 a (ex Suid.[2]); cf. *ibid. Centur.* XVIII 19 etc.

L BNO [plurima desunt] = b

2 λέγω cod., corr. Heyler ‖ 5/6 ὀβολῶν εἶναι transp. Suid.[1] ‖ 6 τὸ λεγόμενον codd. et Suid.[2] : τὸ τῆς παροιμίας Suid.[1] ‖ ἀξίαν om. Suidas ‖ 6 Οὐκ — 10 παροιμίας om. b ‖ 6 οἶσθα Suidas : οἶδ' cod. ‖ 7 καὶ — 8 σκήπτρῳ om. Suidas ‖ 9 παροινίας : παρρησίας Suid.[2] ‖ ἔμελλεν cod. ‖ 10 τῆς παροιμίας : τοῦ λόγου Suid.[1] ‖ πλὴν b : om. L ‖ 11 ἑαυτὸν L : αὐτὸν b ‖ 12 ἆρ' ὅτε — 19 ἐκτοπισθέντων om. b ‖ 12 νέος ἔτι scripsimus : νέοσει cod. ‖ 14 εὐριπίδιον cod., corr. Fabricius ‖ 15 ἐπεὶ — γέγονας in ras. cod. ‖ 16 ὅπωσ cod. : πῶς Hertlein ‖ 18 ὥσπερ οὐ : cf. 210 A ‖ 20 ἀνδρὸς ante καὶ transp. L ‖ ἀπεχθόμενον O ἀπεχθόμενοσ BN

ἀπελθεῖν τοῖς κρατοῦσιν. Ἦσθα δὲ ἂν βελτίων, εἰ τοὺς 445 c
ἀνθρώπους ἐκ τῆς πρὸς σεαυτὸν συνουσίας ἀπέφηνας ἡμῖν μετριωτέρους· ἀλλὰ τοῦτο μὲν οὐ κατὰ σὲ μὰ τοὺς θεούς, οὐδὲ κατὰ μυρίους ἄλλους, ὅσοι ζηλοῦσι τὸν σὸν τρόπον· πέτραι γὰρ πέτραις καὶ λίθοι λίθοις προσαραττόμενοι οὐκ ὠφελοῦσι μὲν ἀλλήλους, ὁ δ' ἰσχυρότερος τὸν ἥττονα εὐχερῶς συντρίβει.

Ἆρα μὴ Λακωνικῶς ταῦτα καὶ συντόμως λέγω; Ἀλλ' ἐγὼ
μὲν οἶμαι λαλίστερος διὰ σὲ καὶ τῶν Ἀττικῶν ἀποπεφάν- d
θαι τεττίγων· ὑπὲρ δὲ ὧν εἰς ἐμὲ πεπαρῴνηκας, ἐπιθήσω σοι δίκην τὴν πρέπουσαν, ἐθελόντων θεῶν καὶ τῆς δεσποίνης Ἀδραστείας. Τίς οὖν ἡ δίκη καὶ τί μάλιστα τὸ δυνάμενόν σου τὴν γλῶτταν καὶ τὴν διάνοιαν ὀδυνῆσαι; Ὡς ἐλάχιστα πειράσομαι διά τε τῶν λόγων καὶ διὰ τῶν ἔργων ἐξαμαρτὼν μὴ παρασχέσθαι σου τῇ κακηγόρῳ γλώττῃ πολλὴν φλυαρίαν· καίτοι με οὐ λέληθεν ὅτι καὶ τῆς Ἀφροδίτης
φασὶν ὑπὸ τοῦ Μώμου ἐσκῶφθαι τὸ σάνδαλον· ἀλλ' ὁρᾷς 446
ὅτι πολλὰ καὶ ὁ Μῶμος ἐρρήγνυτο, καὶ μόγις ἐλαμβάνετο τοῦ σανδάλου. Εἴη δὲ καὶ σὲ περὶ ταῦτα τριβόμενον καταγηρᾶσαι καὶ τοῦ Τιθωνοῦ βαθύτερον καὶ τοῦ Κινύρου πλουσιώτερον καὶ τοῦ Σαρδαναπάλου τρυφερώτερον, ὅπως καὶ

---

1 sq. cf. Plat. *Gorg.* 515 B. Iulian. 223 C || 16 sq. cf. Ael. Aristid. *Orat.* XXVIII § 136 ed. Keil. Philostr. *Epist.* 37.

8 Λακωνικῶς — λέγω Suidas s. v. Λακωνικῶς || 19 καταγηρᾶσαι — p. 108, 2 γέροντες Suidas s. v. Καταγηράσαις (= Suid.[1]) et s. v. Σαρδανάπαλος (= Suid.[2]).

L BNO = b

2 πρὸς ἑαυτοῦ b || 5 οὐκ om. L || 6.7 συντρίβει ante τὸν transp. b || 8 λέγω ἀλλ' om. b || 9 ἀττικῶν b : λακωνικῶν L || 12 τὸ — 14 ἐλάχιστα om. b || 14 διὰ[2] om. b || 15 γλώσσῃ L || 17 τὸν σάνδαλον b || 17 ἀλλ' — 19 σανδάλου om. L || 18 ἐλάμβανε codd., corr. Hercher || 20 καὶ τοῦ[1] om. Suidas || βαθύτερον L et Suidas : βαρύτερόν τε b || καὶ τοῦ[2] om. Suid.[2] || κιννύρου L || 21 τοῦ om. Suidas || τρυφηλότερον Suidas || καὶ[2] om. Suidas

τὸ τῆς παροιμίας ἐπὶ σοῦ πληρωθῇ· « δὶς παῖδες οἱ γέροντες ».

Ἀλλ' ὁ θεσπέσιος Ἀλέξανδρος ἐκ τίνων ἐφάνη σοι τηλικοῦτος; ἆρ' ὅτι μιμητὴς αὐτοῦ γενόμενος ἐζήλωσας ὅσα ἐκείνῳ τὸ μειράκιον Ἑρμόλαος ὠνείδισεν; ἢ τοῦτο μὲν οὐδεὶς οὕτως ἐστὶν ἀνόητος ὡς ὑπονοῆσαι περὶ σοῦ· τοὐναντίον δὲ καὶ ὅπερ ἀπωδύρετο παθὼν Ἑρμόλαος, καὶ διόπερ διενοεῖτο τὸν Ἀλέξανδρον, ὥς φασιν, ἀποκτεῖναι, τοῦτο δὲ οὐδεὶς ὅστις πεπεισμένος οὐκ ἔστι περὶ σοῦ; Πολλῶν δὲ ἐγὼ νὴ τοὺς θεοὺς καὶ σφόδρα σε φαμένων φιλεῖν ἀκήκοα πολλὰ ὑπὲρ ταύτης ἀπολογουμένων τῆς ἁμαρτίας, ἤδη δέ τινος καὶ ἀπιστοῦντος· ἀλλ' οὗτός ἐστιν ἡ μία χελιδών, οὐ ποιεῖ τὸ ἔαρ. Ἀλλ' ἴσως ἐκεῖθεν Ἀλέξανδρος ὤφθη σοι μέγας, ὅτι Καλλισθένη μὲν ἀπέκτεινε πικρῶς, Κλεῖτος δὲ αὐτοῦ τῆς παροινίας ἔργον ἐγένετο, Φιλώτας τε καὶ Παρμενίων [καὶ τὸ Παρμενίωνος παιδίον]· ἐπεὶ τὰ περὶ τὸν Ἕκτορα, τὸν ἐν Αἰγύπτῳ τοῦ Νείλου ταῖς δίναις ἢ ταῖς Εὐφράτου (λέγεται γὰρ ἑκάτερον) ἐναποπνιγέντα, καὶ τὰς ἄλλας αὐτοῦ παιδιὰς σιωπῶ, μὴ βλασφημεῖν ἄνδρα δόξαιμι τὸ κατορθωμένον μὲν οὐδαμῶς ἔχοντα, κράτιστον μέντοι τὰ πολεμικὰ

---

1 sq. cf. Aristophan. *Nub.* 1417. Suidas *s. v.* Δίς. Diogenian. *Centur.* IV 18 ‖ **4** sq. cf. Arrian. IV 14. Quint. Curt. VIII 6 sq. Plutarch. *Alexander* c. 55 ‖ **12** sq. cf. Zenob. *Centur.* V 12 ‖ **16** sq. cf. Quint. Curt. IV 8, 7 sq.

L [**1-2**] BNO = b

1 ἐπὶ σοὶ Suidas ‖ **2** φασὶν post γέροντες add. L ‖ **3** Ἀλλ' ὁ — p. **110**, **13** τεκμήρασθαι om. b ‖ **3** θεσπέσιος Fabricius: θεσπίος cod. ‖ **7** <ὁ> Ἑρμόλαος Hercher ‖ **8** δὲ: an δή? ‖ **11** ἀπολογουμένῳ cod., corr. Fabricius ‖ **15** φιλώτης cod., corr. Fabricius ‖ **16** καὶ τὸ Παρμενίωνος παιδίον « scholion ad vocem Φιλώτας vel etiam Ἕκτορα pertinens » uncis inclusit Heyler; post Παρμενίων lacunam suspicatur P. Thomas ‖ ἐπεὶ Asmus: ἔπειτα cod. ‖ **17** [ἐν Αἰγύπτῳ] Hertlein ‖ **19** δόξω Hercher ‖ **19/20** τὸ κατορθώμενον cod., corr. Hertlein; τὸ κατορθούμενον Hercher

στρατηγόν, ὧν σὺ κατὰ τὴν προαίρεσιν καὶ κατὰ τὴν ἀνδρείαν ἔλαττον μετέχεις ἢ τριχῶν ἰχθύες. Ἄκουε δὴ τῆς παραινέσεως μὴ λίαν ὀργίλως·

οὔ τοι, τέκνον ἐμόν, δέδοται πολεμήια ἔργα,

τὸ δὲ ἑξῆς οὐ παραγράφομαι (αἰσχύνομαι γὰρ νὴ τοὺς θεούς). ἀξιῶ μέντοι σε προσυπακούειν αὐτό· καὶ γὰρ εὔλογον ἕπεσθαι τοῖς ἔργοις τοὺς λόγους, ἀλλὰ μὴ φεύγειν τὰ ῥήματα τὸν μηδαμῶς διαπεφευγότα <τὸ> ἔργον.

Ἀλλ' ὁ τὴν Μαγνεντίου καὶ Κώνσταντος ὁσίαν αἰσχυνόμενος, ἀνθ' ὅτου τοῖς ζῶσι πολεμεῖς καὶ τοῖς ὁπωσοῦν βελτίστοις λοιδορῇ; Πότερον ὅτι μᾶλλον ἐκεῖνοι δύνανται τῶν ζώντων ἀμύνεσθαι τοὺς λυποῦντας; Ἀλλὰ σοὶ τοῦτο οὐ προσῆκε λέγειν· εἶ γάρ, ὡς γράφεις, θαρραλεώτατος. Ἀλλ' εἰ μὴ τοῦτο, τυχὸν ἕτερον· ὥσπερ οὐκ αἰσθανομένους ἐπισκώπτειν ἴσως οὐ βούλει; Τῶν ζώντων δὲ ἆρά τις οὕτως εὐήθης ἐστὶν ἢ μικρόψυχος, ὃς ἀξιώσειεν ἂν αὑτοῦ παρὰ σοὶ λόγον εἶναί τινα, καὶ οὐ βουλήσεται μάλιστα μὲν ἀγνοεῖσθαι παρὰ σοῦ παντάπασιν, εἰ δ' ἀδύνατον εἴη, λοιδορεῖσθαι παρὰ σοῦ μᾶλλον, καθάπερ ἐμὲ νῦν, ἢ τιμᾶσθαι; Μήποτε οὕτω κακῶς φρονήσαιμι, μήποτε τῶν παρὰ σοῦ μᾶλλον ἐπαίνων ἢ ψόγων ἀντιποιησαίμην.

Ἀλλ' αὐτὸ τοῦτο τὸ γράφειν πρός σε δακνομένου τυχὸν ἴσως ἐστίν; οὐ μὰ τοὺς θεοὺς τοὺς σωτῆρας, ἀλλ' ἐπικόπτοντος <τὴν> ἄγαν αὐθάδειαν καὶ τὴν θρασύτητα καὶ τὴν ἀκολασίαν τὴν τῆς γλώττης καὶ τὸ τῆς ψυχῆς ἄγριον καὶ

---

4 Homer. E 428

L

1 [στρατηγὸν] Hertlein || 5 παραγράφομαι cod.: παραγράφω σοι Hertlein || 6 καὶ Heyler: κἂν cod. || 8 <τὸ> supplevimus || 13 οὐ προσήκει Hertlein || εἶ Heyler: εἰ cod. || 14 ὥσπερ: ὡς γὰρ Hertlein || 18/19 λοιδορῆσθαι cod., corr. Heyler || 19 ἐμὲ scripsimus: ἐμοὶ cod. ἐγὼ Hercher || 24 <τὴν> ἄγαν αὐθάδειαν Hercher: ἄγαν αὐθάδην cod.

τὸ μαινόμενον τῶν φρενῶν καὶ τὸ παρακεκινηκὸς ἐν πᾶσιν. Ἐξῆν γοῦν, εἴπερ ἐδεδήγμην, ἔργοις ἀλλὰ μὴ λόγοις σε σφόδρα νομίμως κολάσαι· πολίτης γὰρ ὢν καὶ τῆς γερουσίας μετέχων, αὐτοκράτορος ἐπίταγμα παρῃτήσω· τοῦτο δὲ οὐκ ἐξῆν δήπουθεν τῷ μὴ μεγάλην ἀνάγκην προϊσχομένῳ. Οὔκουν ἐξήρκει μοι ὑπὲρ τούτου ζημιῶσαί σε παντοίαν ζημίαν, ἀλλ' ᾠήθην δεῖν γράψαι πρός σε πρῶτον, νομίζων ἰάσιμον ἐπιστολίῳ βραχεῖ. Ὡς δέ <σ'> ἐμμένοντα τοῖς αὐτοῖς, μᾶλλον δὲ τὸ λεληθὸς τέως τῆς μανίας ἐφώρασα, *** μή τι καὶ νομισθείης ἀνήρ, οὐκ ἀνὴρ ὤν, καὶ παρρησίας μεστός, ἐμβροντησίας ὢν πλήρης, καὶ παιδείας μετεσχηκώς, οὐδὲ γρὺ λόγων ἁψάμενος, ὅσα γε εἰκός ἐστι ταῖς ἐπιστολαῖς σου τεκμήρασθαι. Τὸ γὰρ « φροῦδον » οὐδεὶς εἶπε τῶν ἀρχαίων ἐπὶ τοῦ προφανοῦς, ὥσπερ σὺ νῦν, ἐπεὶ τὰς
446 b ἄλλας σου τῆς ἐπιστολῆς ἁμαρτίας οὐδεὶς ἂν ἐπεξελθεῖν ἐν μακρῷ πάνυ βιβλίῳ δυνηθείη καὶ τὸ μαστροπὸν ἐκεῖνο καὶ βδελυρὸν ἦθος, ὑφ' οὗ σεαυτὸν προαγωγεύεις. Οὐ γὰρ τοὺς ἐξ ἑτοίμου φῂς ἥκοντας οὐδὲ τοὺς ἐφεδρεύοντας ταῖς ἀρχαῖς, ἀλλὰ τοὺς βεβαίᾳ κρίσει χρωμένους καὶ κατὰ τοῦτο τὸ δέον αἱρουμένους, τούτους δεῖν ἀλλὰ <οὐ> τοὺς ἑτοίμως ὑπακούοντας αἱρεῖσθαι. Καλάς γε

---

*12 οὐδὲ — 13 τεκμήρασθαι Suidas *s. v.* Οὐδὲ γρύ || 13 sq. Tzetzes *Chiliad.* XIII 541 sq. || 17 ὑφ' οὗ σεαυτὸν προαγωγεύεις *Lexic. Vindob.* *s. v.* Προαγωγός, p. 151 Nauck.

L [13 Τὸ γὰρ — 20 αἱρουμένους] BNO = b

1 τὸ παρακινηκὼσ cod., corr. Hertlein || 2 εἴπερ Heyler : ὅπερ cod. || 7 δεῖν Hercher : δεῖ cod. || 8 <σ'> Hertlein || 9 λεληθὼσ cod., corr. Fabricius || 10 « feci asteriscos : deest apodosis » Hercher ; supple <ταῦτα περὶ σοῦ ἐμακρολόγησα> vel aliquid simile || νομισθεὶσ cod., corr. Hertlein || 12 γε Suidas : om. cod. || 13 σου Suidas : om. cod. || 15 ἂν b : om. L || ἐξελθεῖν b || 16 πάνυ b : om. L || βιβλίῳ L : κύκλῳ b || 18 ἐξ ἑτοίμου b : ἐξ .... μου, spatio vacuo quattuor litterarum relicto, L || φὴσ ἥκοντασ b : φύσει L || 19 τοὺσ b : om. L || 20 τούτους — p. 111, 18 παραπλησίως om. b || 21 <οὐ> Hertlein

ἡμῖν ἐλπίδας ὑποφαίνεις οὐδὲν δεομένοις ὡς ὑπείξων, ἣν αὖθίς <σε> καλῶμεν ἐπὶ κοινωνίαν πραγμάτων. Ἐμοὶ δὲ τοσοῦτον μέρος τούτου περίεστιν, ὥστε σε, τῶν ἄλλων εἰσιεμένων, οὐδὲ προσείρηκα πώποτε. Καίτοι γε πρὸς πολλοὺς ἔγωγε τοῦτο ἐποίησα γνωρίμων τε καὶ ἀγνοουμένων ἐμοὶ κατὰ τὴν θεοφιλῆ Ῥώμην διατρίβοντας, οὕτω σου τῆς φιλίας ἀντεποιούμην, οὕτω σε σπουδῆς ἄξιον ᾠόμην. Εἰκὸς οὖν ὅτι καὶ τὰ μέλλοντα πρός σε τοιαῦτα ἔσται. Καὶ γὰρ νῦν ἔγραψα ταυτηνὶ τὴν ἐπιστολὴν οὐ σοὶ μόνον ἀνάγνωσμα, ἐπεὶ καὶ ἀναγκαίαν πολλοῖς αὐτὴν ᾔδειν, καὶ δώσω γε πᾶσιν οὐκ ἄκουσιν, ὡς ἐμαυτὸν πείθω, ληψομένοις· σεμνότερον γὰρ ὁρῶντές σε καὶ ὀγκωδέστερον τῶν ἔμπροσθέν σοι βεβιωμένων ἄχθονται. Τελείαν ἔχεις παρ' ἡμῶν τὴν ἀπόκρισιν, ὥστε σε μηδὲν ἐπιποθεῖν. Οὔκουν οὐδὲ ἡμεῖς παρὰ σοῦ τι πλέον ἀπαιτοῦμεν· ἀλλ' ἐντυχών, ὅτε βούλει τοῖς γράμμασι χρῆσαι· τὰ γὰρ τῆς ἡμετέρας φιλίας ἀπείρηταί σοι. Ἔρρωσο τρυφῶν καὶ λοιδορούμενος ἐμοὶ παραπλησίως.

---

83 [ep. 7].

Epistula cuius hoc fragmentum tantum superesse videtur, missa est Atarbio Ancyrano (Liban., *Epist.* 750), qui, postquam diu Euphratensem administravit (*ibid.* 741, p. 669, 5 sq., etc.), Macedoniae consularis factus est (*ibid.* 1221 W.; cf. Seeck, BLZG, p. 91 sq.), quo tempore incertum. Ex Antiochia (inter menses Iul. a. 362 et Mart. a. 363) Iulianus haec vicinae provinciae praesidi mandasse conicias. Idem procul dubio est *Atarbinus* qui in codice Iustiniano nominatur (cf. infra p. 190, 3, et Seeck, *l. l.*).

L

1 οὐδὲ δεομένης cod., corr. Hertlein || **2** <σε> Hertlein || ἐπὶ κοινωνία cod., corr. Asmus (cf. p. 104, 5) || **3/4** εἰσιεμένων Hercher : εἴσω μένων cod. ; ὥστε σε μετ' ἄλλων εἰσιέμενον ? Asmus || **6** ῥόμην cod. || **14** οὐκοῦν cod., corr. Heyler || **15** ὅτε : an ὅ τι ? || **16** τὰ Hertlein : τὸ cod. || **17** ἀπείρηταί scripsimus : ἐπείραταί cod. ἐκπέπραται Asmus πεπέρανταί Cobet πέπραταί Hercher

376 c Ἰουλιανὸς Ἀταρβίῳ, ἰδιόγραφον.

Ἐγὼ μὰ τοὺς θεοὺς οὔτε κτείνεσθαι τοὺς Γαλιλαίους οὔτε τύπτεσθαι παρὰ τὸ δίκαιον οὔτ᾽ ἄλλο τι πάσχειν κακὸν βούλομαι, προτιμᾶσθαι μέντοι τοὺς θεοσεβεῖς αὐτῶν καὶ
d πάνυ φημὶ δεῖν· διὰ μὲν γὰρ τὴν τῶν Γαλιλαίων μωρίαν ὀλίγου δεῖν ἅπαντα ἀνετράπη, διὰ δὲ τὴν τῶν θεῶν εὐμένειαν σωζόμεθα πάντες. Ὅθεν χρὴ τιμᾶν τοὺς θεοὺς καὶ τοὺς θεοσεβεῖς ἄνδρας τε καὶ πόλεις.

---

84 a [ep. 49].

Arsacius, provinciae Galatiae sacerdos, idem esse videtur qui a Libanio, *Epist.* 386, § 9 nominatur (ἀφικνεῖταί τις Γαλάτης... Ἀρσακίου συγγενής); nihil tamen inde de tempore huius epistulae comperimus. Certe haud ita multo postquam Iulianus deorum cultum restituerat (p. 113, 7 sq.) missa est. Similitudo sermonis et argumenti monstrat eam simul fere cum epistulis ad Theodoram (cf. p. 113, 17 sq. et p. 119, 15 sq.) et ad Theodorum sacerdotem (ep. 89) scriptam esse; haec tamen tempore prior est (cf. Asmus, *Zeitschr. für Kirchengesch.*, XVI, 1895, p. 229 et 235). Itaque haec mandata Arsacio dedisse videtur imperator paulo postquam Galatiam peragravit, eis circiter diebus quibus Antiochiam pervenit, i. e. mense Iulio a. 362. Cf. titulus Ancyranus, Dessau, 754.

Has litteras e Sozomeno (V, 16, 5 sq.) depromptas in Iuliani epistulas inseruit Martinius. Textum ipsi contulimus cum codicibus V (= Marcianus 344, s. XIII-XIV, f. 147ᵛ), B (= Baroccianus 142, s. XIV, f. 89), C (= Cairensis 86, olim 1002, s. XIII, f. 60). — Cass. = Cassiodori *Historia tripartita*, VI, 29; Nic. = Nicephori Callisti Xanthop. *Hist. eccl.*, X, 22, qui textum e codice B hausit; cf. Philostorg., ed. Bidez,

---

4 sq. cf. Liban. *Orat.* XVIII 125.

H NO = b L E

1 Ἰουλιανὸς om. LE ‖ ἀταρβίῳ LE : ἀρταβίῳ Hb ‖ ἰδιόγραφον HN : om. cett. ‖ **2** μὰ HL : νὴ bE ‖ **3** κακὸν πάσχειν transp. L ‖ πάσχει H ‖ **4** αὐτῶν om. b ‖ **5** μὲν E : om. cett. ‖ τῶν om. b ‖ **6** δὲ om. L

p. xxxv. Cf. etiam Bidez, *La tradition manuscrite de Sozomène*, Lipsiae, 1908.

Ἐπιστολὴ Ἰουλιανοῦ βασιλέως Ἀρσακίῳ ἀρχιερεῖ Γαλατίας. 429 c

<Ὁ> Ἑλληνισμὸς οὔπω πράττει κατὰ λόγον, ἡμῶν ἕνεκα τῶν μετιόντων αὐτόν· τὰ γὰρ τῶν θεῶν λαμπρὰ καὶ μεγάλα καὶ κρείττονα πάσης μὲν εὐχῆς, πάσης δὲ ἐλπίδος (ἵλεως δὲ ἔστω τοῖς λόγοις ἡμῶν Ἀδράστεια)· τὴν γὰρ ἐν d ὀλίγῳ τοσαύτην καὶ τηλικαύτην μεταβολὴν οὐδὲ εὔξασθαί τις ὀλίγῳ πρότερον ἐτόλμα. Τί οὖν ; ἡμεῖς οἰόμεθα ταῦτα ἀρκεῖν, οὐδὲ ἀποβλέπομεν ὡς μάλιστα τὴν ἀθεότητα συνηύξησεν ἡ περὶ τοὺς ξένους φιλανθρωπία καὶ ἡ περὶ τὰς ταφὰς τῶν νεκρῶν προμήθεια καὶ ἡ πεπλασμένη σεμνότης κατὰ τὸν βίον ; Ὧν ἕκαστον οἴομαι χρῆναι παρ' ἡμῶν ἀλη- 430 θῶς ἐπιτηδεύεσθαι. Καὶ οὐκ ἀπόχρη τὸ σὲ μόνον εἶναι τοιοῦτον, ἀλλὰ πάντας ἁπαξαπλῶς οἳ περὶ τὴν Γαλατίαν εἰσὶν ἱερεῖς· οὓς ἢ δυσώπησον, ἢ πεῖσον εἶναι σπουδαίους, ἢ τῆς ἱερατικῆς λειτουργίας ἀπόστησον, εἰ μὴ προσέρχοιντο μετὰ γυναικῶν καὶ παίδων καὶ θεραπόντων τοῖς θεοῖς, ἀλλ' ἀνέχοιντο τῶν οἰκετῶν ἢ <τῶν> υἱέων ἢ τῶν Γαλιλαίων γαμετῶν ἀσεβούντων μὲν εἰς τοὺς θεούς, ἀθεότητα b

---

*3 sq. [e Sozomeno] Ps. Polydeukes *Histor. physica* (ed. Hardt 1792) p. 374, 22 sq.

Sozomeni codices: V BC = b Cass.

3 Ἐπιστολὴ Ἰουλιανοῦ βασιλέως post Γαλατίας transp. b ‖ **4** <Ὁ> Ἑλληνισμὸς Nic. ‖ **6** καὶ V et Cass. : om. b ‖ **8** τοιαύτην Hertlein ‖ οὐδ' <ἂν> Hertlein ; cf. Cass. : *ausus fuisset* ‖ **9** ταύτην V ; *cur ergo credimus hoc posse sufficere* Cass. ‖ **10** ὡς : ὃ codd., corr. Valois e Cass. : *neque respicimus quemadmodum superstitionem Christianorum auxerit cura peregrinorum* ‖ **14** τὸ σὲ μόνον V : τὸ σεμνὸν b ; *non itaque sat est te talem esse* Cass. ‖ **15** οἳ : ὅσοι Hertlein ‖ **16** οὓς b = Cass. : om. V ‖ **19** <τῶν> supplevimus ‖ **19/20** [Γαλιλαίων] Cobet ; *aut Galilaeos* Cass., quasi γαμετῶν non legisset ; cf. Sozomen. V 16, 1 : οὐχ ἥκιστα δὲ ἤχθετο καὶ πολλῶν ἱερέων χριστιανίζειν ἀκούων τὰς γαμετὰς καὶ τοὺς παῖδας καὶ τοὺς οἰκέτας

δὲ θεοσεβείας προτιμώντων. Ἔπειτα παραίνεσον ἱερέα μήτε θεάτρῳ παραβάλλειν μήτε ἐν καπηλείῳ πίνειν ἢ τέχνης τινὸς καὶ ἐργασίας αἰσχρᾶς καὶ ἐπονειδίστου προΐστασθαι· καὶ τοὺς μὲν πειθομένους τίμα, τοὺς δὲ ἀπειθοῦντας ἐξώθει.

Ξενοδοχεῖα καθ' ἑκάστην πόλιν κατάστησον πυκνά, ἵν'
c ἀπολαύσωσιν οἱ ξένοι τῆς παρ' ἡμῶν φιλανθρωπίας, οὐ τῶν ἡμετέρων μόνον, ἀλλὰ καὶ τῶν ἄλλων ὅστις ἂν δεηθῇ. Χρημάτων δ' ὅθεν εὐπορήσεις, ἐπινενόηταί μοι τέως· ἑκάστου γὰρ ἐνιαυτοῦ τρισμυρίους μοδίους κατὰ πᾶσαν τὴν Γαλατίαν ἐκέλευσα δοθῆναι σίτου καὶ ἑξακισμυρίους οἴνου ξέστας· ὧν τὸ πέμπτον μὲν εἰς τοὺς πένητας τοὺς τοῖς ἱερεῦσιν ἐξυπηρετουμένους ἀναλίσκεσθαί φημι χρῆναι, τὰ δὲ ἄλλα τοῖς ξένοις καὶ τοῖς μεταιτοῦσιν ἐπινέμεσθαι παρ'
d ἡμῶν. Αἰσχρὸν γάρ, εἰ τῶν μὲν Ἰουδαίων οὐδὲ εἷς μεταιτεῖ, τρέφουσι δὲ οἱ δυσσεβεῖς Γαλιλαῖοι πρὸς τοῖς ἑαυτῶν καὶ τοὺς ἡμετέρους, οἱ δὲ ἡμέτεροι τῆς παρ' ἡμῶν ἐπικουρίας ἐνδεεῖς φαίνοιντο. Δίδασκε δὲ καὶ συνεισφέρειν τοὺς Ἑλληνιστὰς εἰς τὰς τοιαύτας λειτουργίας, καὶ τὰς Ἑλληνικὰς
431 κώμας ἀπάρχεσθαι τοῖς θεοῖς τῶν καρπῶν, καὶ τοὺς Ἑλληνικοὺς ταῖς τοιαύταις εὐποιίαις προσέθιζε, διδάσκων αὐ-

1 sq. cf. p. 145, 9 sq. et *Misop.* 365 D || 6 sq. cf. Gregor. Nazianz. *Orat.* IV 111, infra p. 117, 4 sq.

Sozomeni codices : V BC = b Cass.

1 ἱερέας Heyler || μήτε b = Cass. : μὴ V || 6 καθ' ἑκάστην b = Cass. : κατὰ πᾶσαν V || πυκνά om. V et Cass. || 7 τῆς φιλανθρωπίας παρ' ἡμῶν transp. V || 8 ἐνδεηθῇ Hertlein ; cf. Sozomen. V 16, 2 : καὶ τῇ ἄλλῃ περὶ τοὺς δεομένους φιλανθρωπίᾳ ; Greg. Naz. *l. l.* : καὶ τὴν εἰς τοὺς δεομένους φιλανθρωπίαν ; *Misop.* 363 A || 8/9 Χρημάτων δ' ὅθεν Nic. et Cobet : χρημάτων · ὅθεν δὲ (δ' V) codd. = Cass. || 13 ὑπηρετουμένους b || 14/15 an παρ' ὑμῶν ? || 15 οὐδεὶς b || 18 φαίνονται C || 20 ἀπάρχεσθαι iter. V || 20 καὶ τοὺς — p. 115, 5 φίλη τε om. C || 21 προσέθιζε V et Sozomen. (V 16, 4 : ἐσπούδαζε τοὺς Ἑλληνιστὰς προσεθίζειν τοῖς τῶν Χριστιανῶν ἐπιτηδεύμασιν) : προέθιζε ex προσέθιζε corr. B

τοὺς ὡς τοῦτο πάλαι ἦν ἡμέτερον ἔργον. Ὅμηρος γοῦν αὐτὸ πεποίηκεν Εὔμαιον λέγοντα·

ξεῖν᾽, οὔ μοι θέμις ἔστ᾽, οὐδ᾽ εἰ κακίων σέθεν ἔλθοι,
ξεῖνον ἀτιμῆσαι· πρὸς γὰρ Διός εἰσιν ἅπαντες b
ξεῖνοί τε πτωχοί τε· δόσις δ᾽ ὀλίγη τε φίλη τε.

Μὴ δὴ τὰ παρ᾽ ἡμῖν ἀγαθὰ παραζηλοῦν ἄλλοις ξυγχωροῦντες αὐτοὶ τῇ ῥᾳθυμίᾳ καταισχύνωμεν, μᾶλλον δὲ καταπροώμεθα τὴν εἰς τοὺς θεοὺς εὐλάβειαν. Εἰ ταῦτα πυθοίμην ἐγώ σε πράττοντα, μεστὸς εὐφροσύνης ἔσομαι. c

Τοὺς ἡγεμόνας ὀλιγάκις ἐπὶ τῆς οἰκίας ὅρα, τὰ πλεῖστα δὲ αὐτοῖς ἐπίστελλε. Εἰσιοῦσι δὲ εἰς τὴν πόλιν ὑπαντάτω μηδεὶς αὐτοῖς ἱερέων, ἀλλ᾽, ὅταν εἰς τὰ ἱερὰ φοιτῶσι τῶν θεῶν, εἴσω τῶν προθύρων. Ἡγείσθω δὲ μηδεὶς αὐτῶν εἴσω στρατιώτης, ἑπέσθω δὲ ὁ βουλόμενος· ἅμα γὰρ εἰς τὸν οὐδὸν ἦλθε τοῦ τεμένους καὶ γέγονεν ἰδιώτης· ἄρχεις γὰρ αὐτός, ὡς οἶσθα, τῶν ἔνδον, ἐπεὶ καὶ ὁ θεῖος ταῦτα ἀπαιτεῖ θε- d
σμός. Καὶ οἱ μὲν πειθόμενοι κατὰ ἀλήθειάν εἰσι θεοσεβεῖς, οἱ δὲ ἀντεχόμενοι τοῦ τύφου δοξοκόποι εἰσὶ καὶ κενόδοξοι.

Τῇ Πισσινοῦντι βοηθεῖν ἕτοιμός εἰμι, εἰ τὴν Μητέρα τῶν θεῶν ἵλεων καταστήσουσιν ἑαυτοῖς· ἀμελοῦντες δὲ αὐτῆς, οὐκ ἄμεμπτοι μόνον, ἀλλά, μὴ πικρὸν εἰπεῖν, μὴ καὶ τῆς παρ᾽ ἡμῶν ἀπολαύσωσι δυσμενείας.

3—5 Homer. ξ 56-58 : cf. p. 131, 12 sq. || **10** sq. cf. p. 143, 8 sq. et 15 sq.

Sozomeni codices : V BC = b Cass.

2 αὐτό B = Cass. : αὐτός V || **3** θέμις ἐστὶν οὔτε εἰ codd., corr. ex Homero Hercher || **4** ἀτιμῆσαι V = Homer. : ἀτιμάσαι B || **6** δὴ Valois : δὲ codd. || παρ᾽ ἡμῖν b = Cass. : παρ᾽ ὑμῖν V || καταζηλοῦν V || συγχωροῦντες b || **7** καταισχύνοιμεν codd., corr. Castellanus || **9** σε b = Cass. : γε V || **13** αὐτὸν V || **14** τὸν : τὴν V || **18** δοξοκόμ^{ε}ποι V || **20** πισσινοῦντι b : πισυνοῦντι V || **21** ἵλεω b || ἑαυτοῖς b : σφίσιν αὐτοῖς V || **21/22** ἀμελοῦντες δὲ αὐτῆς b = Cass. : ἀμελοῦντι δὲ αὐτοῖς V || **22** *non solum sine querela non erunt* Cass. || μὴ[1] om. b

432 Οὐ γάρ μοι θέμις ἐστὶ κομιζέμεν οὐδ᾽ ἐλεαίρειν
ἄνδρας, οἳ καὶ θεοῖσιν ἀπέχθονται ἀθανάτοισιν.

Πεῖθε τοίνυν αὐτούς, εἰ τῆς παρ᾽ ἐμοῦ κηδεμονίας ἀντέχονται, πανδημεὶ τῆς Μητρὸς τῶν θεῶν ἱκέτας γενέσθαι.

84 b.

Unde sequentia hausta sint diiudicare noluimus: forsan e deperditis Iuliani scriptis epistulae 84a haud absimilibus.

Sozomen., V, 16, 2 sq.: Ὑπολαβὼν δὲ τὸν Χριστιανισμὸν τὴν σύστασιν ἔχειν ἐκ τοῦ βίου καὶ τῆς πολιτείας τῶν αὐτὸν μετιόντων, διενοεῖτο (scil. ὁ Ἰουλιανὸς) πανταχῇ τοὺς Ἑλληνικοὺς ναοὺς τῇ παρασκευῇ καὶ τῇ τάξει τῆς Χριστιανῶν θρησκείας διακοσμεῖν, βήμασί τε καὶ προεδρίαις, καὶ Ἑλληνικῶν δογμάτων καὶ παραινέσεων διδασκάλοις τε καὶ ἀναγνώσταις, ὡρῶν τε ῥητῶν καὶ ἡμερῶν τεταγμέναις εὐχαῖς, φροντιστηρίοις τε ἀνδρῶν καὶ γυναικῶν φιλοσοφεῖν ἐγνωκότων, καὶ καταγωγίοις ξένων καὶ πτωχῶν, καὶ τῇ ἄλλῃ περὶ τοὺς δεομένους φιλανθρωπίᾳ τὸ Ἑλληνικὸν δόγμα σεμνῦναι, ἑκουσίων τε καὶ ἀκουσίων ἁμαρτημάτων κατὰ τὴν τῶν Χριστιανῶν παράδοσιν ἐκ μεταμελείας σύμμετρον τάξαι σωφρονισμόν· οὐχ ἥκιστα δὲ ζηλῶσαι λέγεται τὰ συνθήματα τῶν ἐπισκοπικῶν γραμμάτων, οἷς ἔθος ἀμοιβαδὸν τοὺς ξένους ὅποι δήποτε διιόντας καὶ παρ᾽ οἷς ἂν ἀφίκωνται πάντως κατάγεσθαι καὶ θεραπείας ἀξιοῦσθαι, οἷά γε γνωρίμους καὶ φιλαιτάτους διὰ τὴν τοῦ συμβόλου μαρτυρίαν.

Gregor. Nazianz., *Orat.* IV, 111: Τοῦτο δὴ καὶ οὗτος διανοηθείς, διδασκαλεῖα μὲν ἱδρύσασθαι κατὰ πᾶσαν πόλιν ἕτοιμος ἦν, βήματά τε καὶ προεδρίας καὶ ὑφεδρίας, Ἑλληνικῶν τε δογμάτων ἀναγνώσεις καὶ ἀναπτύξεις, ὅσαι τε ἦθος

1—2 Homer. κ 73-74.

[1—4]Sozomeni codices: V BC = b Cass.

1 θέμις ἐστὶ Homer. = *fas est* Cass.: θέμισ εἰπεῖν codd. || κομίζομεν V || οὐδ᾽ VC = Homer.: ἢ B || ἐλεαίρειν: ἀποπέμπειν Homer. || 2 ἄνδρας οἳ καὶ — ἀπέχθονται b: ἄνδρας ἢ καὶ — ἀπεχθάνονται V ἄνδρα τὸν ὅς κε — ἀπέχθηται Homer.; ἀνέρας οἵ κε — ἀπέχθωντ᾽ Cobet; *ut illi parcatur qui deos habuerit inimicos* Cass., quasi Homeri textum accurate exscriptum legisset || ἀθανάτοισιν: μακάρεσσιν Homer.

ῥυθμίζουσι καὶ ὅσαι τῆς ἐπικρύψεως, εὐχῶν τε τύπον ἐν μέρει καὶ τῆς τῶν ἁμαρτανόντων κατὰ μέτρον ἐπιτιμήσεως, προτελείων τε καὶ τελειώσεως, καὶ ὅσα τῆς ἡμετέρας σαφῶς ἐστιν εὐταξίας· ἔτι δὲ καταγώγια πήξασθαι καὶ ξενῶνας, ἁγνευτήριά τε καὶ παρθενῶνας καὶ φροντιστήρια, καὶ τὴν εἰς τοὺς δεομένους φιλανθρωπίαν τήν τε ἄλλην ὁπόση καὶ τὴν ἐν τοῖς ἐπιστολιμαίοις συνθήμασιν, οἷς ἡμεῖς ἐξ ἔθνους εἰς ἔθνος τοὺς χρῄζοντας παραπέμπομεν.

Cf. *ibid.*, 114 : Ἔστω τὸ θέατρον εὐτρεπές (ἢ οὐκ οἶδ' ὅ τι καὶ καλεῖν τὸν οἶκον αὐτῶν κελεύσουσιν)· οἱ κήρυκες βοάτωσαν, ὁ λαὸς συνίτω, τὴν προεδρίαν ἐχέτωσαν εἴτε οἱ πολιᾷ καὶ χρόνῳ καὶ τῷ τῆς πολιτείας ἐξειλεγμένῳ προέχοντες, εἴτε οἱ γένει καὶ δόξῃ περίβλεπτοι καὶ σοφίᾳ τῇ κάτω πλεκομένῃ καὶ πλεῖον ἐχούσῃ τὸ τερπνὸν τῆς ἀληθοῦς εὐσεβείας· τοῦτο γὰρ ἐπ' αὐτοῖς ποιησόμεθα. Τί ποιήσουσι τὰ ἑξῆς; Αὐτοὶ τοὺς ἑαυτῶν προέδρους γραψάτωσαν· ἁλουργὶς αὐτοὺς κοσμήσει καὶ ταινία καὶ στεφάνων ἄνθος καὶ κάλλος (cf. *Orat.* V, 35)... 115. Ταῦτα μὲν δὴ ταύτῃ. Τί δὲ τὸ ἐντεῦθεν; Παρέξεις αὐτοῖς ὑποφήτας δηλαδὴ θεοφόρων λογίων, ὡς ἂν αὐτοὶ φαίητε, καὶ βίβλους ἀνελίξεις θεολογικάς τε καὶ ἠθικάς...; 118. Εἰ δὲ ταῦτα μὲν (scil. Hesiodi Homerique fabulas; cf. Iulian. 207 B et 217 C) ποιητῶν εἶναι φήσουσι πλάσματα καὶ ληρήματα, δύο τούτοις προσχρωμένων εἰς τὸ τερπνὸν τῆς ποιήσεως, μέτρῳ καὶ μύθῳ, καὶ οἷον καταγλυκαινόντων τούτοις τὴν ἀκοήν, αὐτοῖς δὲ ἀπορρητότερον εἶναι καὶ βαθύτερον τὸν ἐναποκείμενον τούτοις νοῦν καὶ διαβατὸν ὀλίγοις τῶν σοφωτέρων...

---

85 [ep. 5].

Ex Libanii epistulis (328, 786, etc.) nota est Theodora, Thalassii praefecti praetorio Orientis uxor vel potius vidua, Thalassii iunioris et Bassiani notarii mater (cf. Seeck, BLZG, p. 289 et 307). Commercium Iuliani cum nobili excultaque femina vix ante adventum eius Antiochiam (mense Iulio a. 362) initium cepit. Eam tunc sacerdotio quodam fungi titulus (p. 118, 1 : τῇ αἰδεσιμωτάτῃ) innuit et epistula 86 (p. 120, 3 sq.) confirmat. — Mygdonius nuntius (p. 118, 3 et 23) fortasse idem est atque familiaris Musonii : cf. Liban., *Epist.* 557, 603, 604, et Seeck, BLZG, p. 219.

Ἰουλιανὸς Θεοδώρᾳ τῇ αἰδεσιμωτάτῃ.

375 d Τὰ πεμφθέντα παρὰ σοῦ βιβλία πάντα ὑπεδεξάμην καὶ τὰς ἐπιστολὰς ἄσμενος διὰ τοῦ βελτίστου Μυγδονίου· καὶ μόγις ἄγων σχολὴν (ὡς ἴσασιν οἱ θεοί, οὐκ ἀκκιζόμενος λέγω), ταῦτα ἀντέγραψα πρός σε. Σὺ δὲ εὖ πράττοις καὶ γράφοις ἀεὶ τοιαῦτα.

86 [ep. 2*].

Thalassius, Theodorae filius (cf. p. 117, 33 sq.), Galli Caesaris inimicus fuerat. Itaque, cum Iulianus regnum adeptus est, multi exstiterunt Antiochiae domus eius calumniatores (Ammian. Marc., XXII, 9, 16; Seeck, BLZG, p. 290). Inde Theodora ad suspiciones prona questa est in se maledicum fuisse Seleucum (p. 119, 2 sq.) quoque, Libanii familiarem, quem postea Persici itineris comitem imperator habuit (Sievers, *Libanius*, p. 107 adn. 22; 130 adn. 29; Seeck, BLZG, p. 272 sq.). Iulianus animum eius placat, sed hortatur ne quem in domo famulum vel affinem Christianum sacerdos deorum manere patiatur (cf. quae de muneribus sacerdotii supra, p. 113, 17 sq., praecipit pontifex maximus; de Thalassii Christianis affinibus et servis cf. Historiogr. anonym. Arian., Philostorg., p. 235 ed. Bidez).

Θεοδώρᾳ.

Τὸ βιβλίον ὅπερ ἀπέστειλας διὰ Μυγδονίου δεδέγμεθα, καὶ προσέτι πάντα ὅσα σύμβολα διὰ τῆς ἑορτῆς ἡμῖν ἐπέμπετο. Ἔστι μὲν οὖν μοι καὶ τούτων ἕκαστον ἡδύ, παντὸς δὲ ἥδιον εὖ ἴσθι τὸ πεπύσθαι περ' τῆς σῆς ἀγαθότητος ὅτι σὺν θεοῖς ἔρρωταί σοι τὸ σῶμα καὶ τὰ περὶ τοὺς θεοὺς ἐπιμελέστερον ἅμα καὶ συντονώτερον σπουδάζεται παρὰ σοῦ.

[1 — 6] V — [22 sq.] XY

4/5 οὐκ ἀκκιζόμενος λέγω Cobet : οὐ κακιζομένῃ λόγῳ cod.; cf. supra p. 96, 2 sq. || **23** Τὸ βιβλίον — **25** ἕκαστον ἡδύ om. Y || **24** σύμβολα: cf. Liban. *Ep.* 1108 W.: τὰ σύμβολα... τῆς ἑορτῆς || **25** ἡδύ Weil: ἰδεῖν cod. || δὲ om. Y || **26** με ante περὶ add. Y || **27** καὶ τὰ — p. **119, 4** τοὐναντίον δὲ om. Y

Περὶ δὲ ὧν πρὸς τὸν φιλόσοφον Μάξιμον ἔγραψας, ὡς τοῦ φίλου μου Σελεύκου διαφόρως ἔχοντος πρός σε, πέπεισο μηθὲν αὐτὸν παρ᾽ ἐμοὶ τοιοῦτον πράττειν ἢ λέγειν, ἐξ ὧν ἄν σε μάλιστα διαβάλλοι· τοὐναντίον δὲ πάντα εὔφημα διεξέρχεται περὶ σοῦ. Καὶ οὔπω λέγω τοῦθ᾽ ὅτι καὶ διάκειται περὶ σὲ καλῶς (ἐκεῖνο μὲν γὰρ αὐτὸς ἂν εἰδείη καὶ οἱ πάντα ὁρῶντες θεοί), τὸ δὲ ὅτι πάντων ἀπέχεται τῶν τοιούτων ἐπ᾽ ἐμοῦ λίαν ἀληθεύων φημί. Γελοῖον οὖν εἶναί μοι φαίνεται μὴ τὰ πραττόμενα παρ᾽ αὐτοῦ σκοπεῖν, ἀλλὰ τὰ κρυπτόμενα καὶ ὧν οὐδέν ἐστί μοι φανερὸν τεκμήριον ἐξετάζειν.

᾽Επεὶ δὲ κατέδραμες αὐτοῦ πολλὰ πάνυ καὶ περὶ αὐτῆς ἐδήλωσάς τινα, τὴν αἰτίαν σοι τῆς πρὸς αὐτὸν ἀπεχθείας φανερὰν ποιοῦσα, τοσοῦτον ἐγώ φημι πρός σε διαρρήδην, ὡς, εἴ τινα ἀνδρῶν ἢ γυναικῶν ἢ ἐλευθέρων ἢ δούλων ἀγαπᾷς οὔτε νῦν σέβοντα θεούς, οὔτε ἐν ἐλπίδι τοῦ πείσειν αὐτὸν ἔχουσα, ἁμαρτάνεις. ᾽Εννόησον γὰρ ὡς ἐπὶ σαυτῆς πρῶτον· εἴ τις οἰκετῶν τῶν φιλουμένων ὑπὸ σοῦ τοῖς λοιδορουμένοις καὶ βλασφημοῦσί σε συμπράττοι καὶ θεραπεύοι πλέον ἐκείνους, ἀποστρέφοιτο δὲ καὶ μισοίη καὶ βδελύττοιτο τοὺς σοὺς φίλους ἡμᾶς, ἆρ᾽ οὐ τοῦτον αὐτίκα ἂν ἀπολέσθαι ἐθέλοις, μᾶλλον δὲ καὶ αὐτὴ τιμωρήσαιο; Τί οὖν; οἱ θεοὶ τῶν φίλων εἰσὶν ἀτιμότεροι; Λόγισαι καὶ ἐπ᾽ αὐτῶν τοῦτο, δεσπότας μὲν ἐκείνους ὑπολαβοῦσα, δούλους δὲ ἡμᾶς· εἴ τις οὖν ἡμῶν, οἵ φαμεν εἶναι θεράποντες θεῶν, οἰκέτην στέργοι τὸν βδελυττόμενον αὐτοὺς καὶ ἀποστρεφόμενον αὐτῶν τὴν θρησκείαν, ἆρ᾽ οὐ δίκαιον ἢ πείθειν αὐτὸν

15 sq. cf. p. 113, 17 sq.

XY [Y desinit 11 ἐξετάζειν]

6/7 καὶ οἱ — θεοί om. Y || 12 ᾽Επεὶ δὲ Papadopoulos : ἐπειδὴ cod. 13 σοι cod. : μοι Papadopoulos || 22 ἐθέλεις cod., corr. Weil || 23 ἀτιμώτεροι cod., corr. Papadopoulos

καὶ σώζειν, ἢ τῆς οἰκίας ἀποπέμπεσθαι καὶ πιπράσκειν, εἴ τῳ μὴ ῥᾴδιον ὑπερορᾶν οἰκέτου κτήσεως; Ἐγὼ δὲ οὐκ ἂν δεξαίμην ὑπὸ τῶν μὴ φιλούντων θεοὺς ἀγαπᾶσθαι· ὃ δὴ καὶ σὲ καὶ πάντας φημὶ δεῖν τοὺς ἱερατικῶς < ζῆν > ἀντιποιουμένους ἐντεῦθεν ἤδη διανοηθέντας, ἅψασθαι συντονώτερον τῆς εἰς τοὺς θεοὺς ἁγιστείας· ἀπὸ τῆς οἰκίας δὲ ἕκαστον εὔλογον ἀπάρχεσθαι τῆς ἑαυτοῦ τὸν ἱερέα καὶ πρώτην αὐτὴν ὅλην δι᾽ ὅλης ἀποφῆναι καθαρὰν τῶν τηλικούτων νοσημάτων.

---

87 [ep. 6*].

Sacerdoti cuidam haec scripsisse Iulianum vix dubium, cum Augustus iam esset, ut ex deorum (v. 15 et 18) mentione apparet. Femininum (v. 18/19) παρ᾽ αὐτῇ primo editori suasit hanc epistulam Theodorae missam esse.

Ἐδεξάμην ὅσα ἐπέστειλεν ἡ σὴ φρόνησις ἀγαθὰ καὶ καλὰ παρὰ τῶν θεῶν ἡμῖν ἐπαγγέλματα καὶ δῶρα· καὶ πολλὴν ὁμολογήσας χάριν τοῖς οὐρανίοις θεοῖς, ἐν δευτέρῳ τῇ σῇ μεγαλοψυχίᾳ χάριν ἔσχον, ὅτι καὶ προσλιπαρεῖν ὑπὲρ ἡμῶν τοὺς θεοὺς ἐν τοῖς μάλιστα προθυμῇ καὶ τὰ φανέντα παρ᾽ αὐτῇ ἀγαθὰ διὰ ταχέων ἡμῖν καταμηνύειν σπουδάζεις.

---

88 [ep. 62].

Praeses provinciae Cariae, ut videtur, sacerdotem fustibus caedi iusserat iudicio (p. 121, 17 sq. : ἐμπειρίας... τῶν δικαίων, et 121, 20 : θώκων) et flamen civitatis Mileti (cf. p.

[1—8] X — [14-19] X

1 an < ἢ > καὶ πιπράσκειν? ‖ 3 sq. « ὃ dépend de διανοηθέντας, l'infinitif δεῖν gouverne ἅψασθαι » Weil ‖ 4 < ζῆν > supplevimus : cf. p. 144, 13 et 169, 18 sq. ‖ 7 ἀπάρχεσθαι scripsimus : παρέχεσθαι cod.

14 δεξάμην (ἐ om. rubricator) cod., qui nullum titulum praebet

122, 20 et 121, 24 sq.) de hac immodestia apud imperatorem litteris questus erat. Iulianus iudicem increpat hac epistula, cuius nihil nisi minor pars superest. Iam non solum pontifex maximus, sed propheta Apollinis Didymaei Iulianus erat (p. 122, 17), at nescimus quando hoc sacerdotium sortitus sit (cf. Haussoullier, *Rev. de philol.*, XXIII, 1899, p. 163). Haec tamen scripsisse videtur paulo ante ep. 89a, i. e. exeunte anno 362 (cf. Asmus, *Zeitschr. für Kirchengesch.*, XVI, 1895, p. 222 et 226).

. . . . . τοῦθ᾽ ὅπερ ὑπάρχει τοῖς ξύλοις, οὐκ ἄξιόν ἐστιν νέμειν 450 b
ἀνθρώποις; Ὑποκείσθω γὰρ ἄνθρωπος ἱερωσύνης ἀντειλῆφθαι τυχὸν οὐκ ἄξιος· οὐ χρὴ φείδεσθαι μέχρι τοσούτου, μέχρις ἂν ἐπιγνόντες ὡς πονηρός ἐστι καὶ τῆς λειτουργίας αὐτῆς εἴρξαντες <καὶ ἀφελόντες> τὸ προπετῶς ἴσως προστεθὲν ὄνομα τοῦ ἱερέως, ὑπεύθυνον ἀποδείξωμεν ὕβρει καὶ κολάσει καὶ ζημίᾳ; Ταῦτα εἰ μὲν ἀγνοεῖς, οὐδὲ τῶν ἄλλων ἔοικας εἰδέναι τι τῶν μετρίων. Ἐπεί σοι ποῦ μέτεστιν ἐμ- c
πειρίας ὅλως τῶν δικαίων, ὃς οὐκ οἶσθα τί μὲν ἱερεύς, τί δὲ ἰδιώτης; Ποῦ δέ σοι μέτεστι σωφροσύνης, εἴπερ ᾔκίσω τοῦτον, ᾧ καὶ θώκων ἐχρῆν ἐξανίστασθαι; Τὸ <δὲ> αἴσχιστον ἁπάντων καί σοι μάλιστα μήτε πρὸς θεοὺς μήτε πρὸς ἀνθρώπους ἔχον καλῶς, οἱ μὲν τῶν Γαλιλαίων ἴσως ἐπίσκοποι καὶ πρεσβύτεροι συγκαθίζουσί σοι, καὶ εἰ μὴ δημοσίως δι᾽ ἐμέ, λάθρᾳ <γε> καὶ ἐν τῷ οἴκῳ· διὰ σὲ δὲ τέτυπται ὁ ἱερεύς· d

12 sq. cf. p. 137, 2 sq.

U

10 titulus et initium desunt in cod.: incipit τοῦθ᾽ ὅπερ f. 136v post duas paginas vacuas || 10/11 « *quem ligno diis consecrato tribuimus reverentiam nonne hominibus quoque concedere decet?* » cf. infra p. 137, 7 sq. || 11 ἄνθρωπον et 12 ἄξιον Hertlein || 14 αὐτόν Petau || <καὶ ἀφελόντες> P. Thomas: cf. infra p. 137, 2 sq. || 19 εἴπερ Hercher: ἤνπερ cod. ὥσπερ Reiske || 20 Τὸ <δὲ> αἴσχιστον scripsimus: τὸ αἴσχιστον cod. ὃ αἴσχιστον vel τοῦτο αἴσχιστον Hertlein || 24 <γε> Reiske || οἴκῳ· διὰ σὲ τέτυπται δὲ cod. et Heyler; « immo διὰ σὲ δὲ τέτυπται » Hercher

οὐ γὰρ <ἂν> ἦλθεν ἐπὶ ταύτην ὁ παρ' ὑμῖν ἀρχιερεὺς μὰ Δία τὴν δέησιν. Ἀλλ' ἐπειδή σοι πέφηνε μυθώδη τὰ παρ' Ὁμήρῳ, τῶν τοῦ Διδυμαίου δεσπότου χρησμῶν μετάκουσον, εἴ σοι φανείη πάλαι μὲν ἔργῳ νουθετήσας καλῶς τοὺς Ἕλληνας, ὕστερον δὲ τοὺς σωφρονοῦντας διδάσκων τοῖς λόγοις·

451 Ὅσσοι ἐς ἀρητῆρας ἀτασθαλίῃσι νόοιο
ἀθανάτων ῥέζουσ' ἀποφώλια, καὶ γεράεσσιν
ἀντία βουλεύουσιν ἀδεισιθέοισι λογισμοῖς,
οὐκέθ' ὅλην βιότοιο διεκπερόωσιν ἀταρπόν,
b ὅσσοι περ μακάρεσσιν ἐλωβήσαντο θεοῖσιν,
ὧν κεῖνοι θεόσεπτον ἕλον θεραπηίδα τιμήν.

Ὁ μὲν οὖν θεὸς οὐ τοὺς τύπτοντας οὐδὲ τοὺς ὑβρίζοντας, ἀλλὰ τοὺς ἀποστεροῦντας τῶν τιμῶν εἶναί <φησι> τοῖς θεοῖς ἐχθρούς· ὁ δὲ τυπτήσας ἱερόσυλος ἂν εἴη.

Ἐγὼ τοίνυν, ἐπειδήπερ εἰμὶ κατὰ μὲν τὰ πάτρια μέγας ἀρχιερεύς, ἔλαχον δὲ νῦν καὶ τοῦ Διδυμαίου προφητεύειν,
c ἀπαγορεύω σοι τρεῖς περιόδους σελήνης μή τοι τῶν εἰς ἱερέα μηδὲν ἐνοχλεῖν· εἰ δὲ ἐν τούτῳ τῷ χρόνῳ φανείης ἄξιος, ἐπιστείλαντός μοι τοῦ τῆς πόλεως ἀρχιερέως, εἰ

---

2 sq. Homer. Α 23 (cf. infra p. 136, 21 sq.) et 93 sq. || **7 — 12** cf. p. 137, 21 sq.

U

1 <ἄν> Petau || **3/4** ἐπάκουσον Petau ; an κατάκουσον ? || **5** τοὺς <οὐ> σωφρονοῦντας Cobet || **7** ἀτασθαλίοισι cod., sed cf. p. 137, 21 || **11** ὅσσοι περ cod. : ὡς εἴπερ « *perinde ac si* » Cobet, sed cf. p. 138, 3 || **12** ἕλον : ἔχον Hercher et Cobet || **14** εἶναί <φησι> Spanheim ; <ἀνεῖλεν> εἶναι τοῖς vel ἀποφαίνει τοῖς ? P. Thomas || [τοῖς] Hercher || **16** an μέγιστος ? || **17/18** post ἀρχιερεύς spatium vacuum duarum et post περιόδους trium litt. in cod., sed textus mutilus esse non videtur ; scriba iuxta finem versuum archetypi (V hic deperditi) utrum textus esset integer an humore deletus dubitavit ; cf. adn. ad p. 123 || **18** μήτι Hercher || **19** <τὸν> ἱερέα Reiske ; an εἰς ἱερὰ ? || φανείης Petau : φαν... cod.

παραδεκτὸς εἴης ἡμῖν, ἐσαῦθις μετὰ τῶν θεῶν βουλεύσομαι. Τὰς δὲ ἐκ τῶν θεῶν ἀρὰς πάλαι μὲν εἰώθεσαν οἱ παλαιοὶ λέγειν καὶ γράφειν, οὐ μὴν ἔμοιγε φαίνεται καλῶς d
ἔχειν· οὐδαμοῦ γὰρ αὐτὸ πεποιηκότες οἱ θεοὶ φαίνονται, καὶ ἄλλως εὐχῶν εἶναι διακόνους ἡμᾶς οἶμαι· ὅθεν καὶ συνεύχομαί σοι πολλὰ λιπαρήσαντι τοὺς θεοὺς ἀδείας τυχεῖν ὧν ἐπλημμέλησας.

89a [ep. 63].

Haec epistula scripta est cum Iulianus Augustus, cui longe ante Theodorus a communi magistro commendatus erat (cf. v. 20 sq., et supra ep. 30), in Oriente versabatur (v. 22) et postquam abunde iam expertus erat quanta esset paganorum circa restituendum deorum cultum segnitia (p. 126, 1 sq.). Temere affirmat J. Geffcken (*Kaiser Julianus*, p. 153) Iulianum nondum in Asiam transisse neque Theodorum ei de facie notum esse, cum haec scriberet.

Ἰουλιανὸς [Καῖσαρ] Θεοδώρῳ ἀρχιερεῖ. 452

Ἐμοὶ πρός σε πεποίηται παρὰ τοὺς ἄλλους ἰδιαίτερον ἐπιστολῆς εἶδος, ὅτι σοι καὶ πλέον μέτεστι τῆς πρὸς ἐμὲ φιλίας ἤπερ οἶμαι τοῖς ἄλλοις· ἔστι γὰρ ἡμῖν ὁ κοινὸς καθηγεμὼν οὐ μικρά, καὶ μέμνησαι δήπου (χρόνος δὲ οὐ βραχὺς) ὅτι διατρίβων ἔτι περὶ τὴν Ἑσπέραν, ἐπειδή σε b

---

[1—7] U — [17 sq.] V [V^d U]

(in fine et initio versuum incertus est numerus litterarum in V evanidarum vel abscissarum)

2 πάλαι: πολλὰς Hercher ‖ **3** φαίνεται Petau: φ.... cod. ‖ **4** αὐτοὶ Hercher ‖ **5** ἡμᾶς οἶμαι· ὅθεν scripsimus: ἡμᾶς· ὅθεν οἶμαι cod.

17 [Καῖσαρ] Heyler: Iulianum iam non esse Caesarem v. 22 monstrat ‖ **19** ὅτι σοι καὶ Spanheim: ὅτ...αὶ V ὅ..σοι καὶ U ‖ **22** ὅτι scripsimus: ὅτε cod. ‖ περὶ V^d: om. U, κ... legit Hertlein, sed revera vestigia litterarum in V magis quadrant cum V^d

λίαν ἀρέσκειν ἐπυθόμην αὐτῷ, φίλον ἐνόμισα· καίτοι λίαν ἔχειν ἐκεῖνο καλῶς εἴωθεν ἐμοὶ διὰ περιττὴν εὐλάβειαν τὸ

οὐ γὰρ ἔγωγε
ἤντησ' οὐδὲ ἴδον,

καὶ ὡς ἡγεῖσθαι χρὴ φιλίας μὲν γνῶσιν, γνώσεως δὲ πεῖραν. Ἀλλ' ἦν τις, ὡς ἔοικεν, οὐκ ἐλάχιστος παρ' ἐμοὶ λόγος καὶ τοῦ « αὐτὸς ἔφα ». Διόπερ ἐγὼ καὶ τότε σε τοῖς γνωρίμοις ᾤμην δεῖν ἐγκαταλέγειν, καὶ νῦν ἐπιτρέπω
c πρᾶγμα ἐμοὶ μὲν φίλον, ἀνθρώποις δὲ πᾶσι πανταχοῦ λυσιτελέστατον. Σὺ δὲ εἰ καλῶς, ὥσπερ οὖν ἄξιον ἐλπίζειν, αὐτὸ μεταχειρίσαιο, πολλὴν μὲν εὐφροσύνην ἴσθι ἐνταῦθα παρέξων, ἐλπίδα δὲ ἀγαθὴν μείζονα τὴν εἰς τὸ μέλλον. Οὐ γὰρ δὴ καὶ ἡμεῖς ἐσμεν τῶν πεπεισμένων τὰς ψυχὰς
d ἤτοι προαπόλλυσθαι τῶν σωμάτων ἢ συναπόλλυσθαι, πειθόμεθα δὲ τῶν μὲν ἀνθρώπων οὐδενί, τοῖς θεοῖς δὲ μόνον, οὓς δὴ καὶ μάλιστα ταῦτα εἰκὸς εἰδέναι μόνους, εἴ γε χρὴ καλεῖν εἰκὸς τὸ ἀναγκαῖον· ὡς τοῖς μὲν ἀνθρώποις ἁρμόζει περὶ τῶν τοιούτων εἰκάζειν, ἐπίστασθαι δὲ αὐτὰ τοὺς θεοὺς ἀνάγκη.

Τί τοῦτο οὖν ἐστιν ὅ φημί σοι νῦν ἐπιτρέπειν; ἄρχειν

---

4 sq. Homer. Δ 374 sq. et δ 200 sq. || 13 sq. cf. p. 139, 2 sq.

V [V^d U]

1/2 καί τοι λίαν (« non tam λ quam α legere mihi visus sum; sequitur : vel : vel certe frustum literae quam tachygraphi non solent cum α copulare, veluti non fuerit ἄγαν ») V^d : καί π λ... | , sed λ non certum, V καὶ ποι...... U || 2 ἔχειν scripsimus : ἔχον cod. || 4/5 ἔγωγε ἤντησ' Cobet ex Homero : ἐγω .. ἠν.... | V, ἔγω .. ἤντησα in V se vidisse affirmat Hercher || 5 εἶδον cod., corr. Cobet || 7 ἀλλ' ἦν U : ..λ' ἦν V || 8 τοῦ Cobet : τοῦτο cod. || ἔφα Cobet : ἔφασ cod. || 10 πρᾶγμα U : πρᾶγ.. V || 11 εἰ Cobet : .. (vestigia cum εἰ quadrant) V om. U || 12 verbum ἴσθι, quod restituit Cobet, scripsimus post εὐφροσύνην ubi, fine versus absciso, fortasse excidit aliquid ex V || 14 ἡμεῖς U : ἡμ... | V || 20 τοῦτο Hertlein : το... | V ποτ' U || ὅ Petau : ˚ V .. U

τῶν περὶ τὴν Ἀσίαν ἱερῶν ἁπάντων ἐπισκοπουμένῳ τοὺς καθ᾽ ἑκάστην πόλιν ἱερέας καὶ ἀπονέμοντι τὸ πρέπον ἑκάστῳ. Πρέπει δὲ ἐπιείκεια μὲν πρῶτον ἄρχοντι, χρη- 453
στότης τε ἐπ᾽ αὐτῇ καὶ φιλανθρωπία πρὸς τοὺς ἀξίους αὐτῶν τυγχάνειν· ὡς ὅστις γε ἀδικεῖ μὲν ἀνθρώπους, ἀνόσιος <δ'> ἐστὶ πρὸς θεούς, θρασὺς δὲ πρὸς πάντας, ἢ διδακτέος μετὰ παρρησίας ἐστὶν ἢ μετὰ ἐμβριθείας κολαστέος.

Ὅσα μὲν οὖν χρὴ κοινῇ συντάξαι περὶ τῶν ἱερέων ἁπάντων, ἐντελέστερον αὐτίκα μάλα σὺν τοῖς ἄλλοις εἴσει, μικρὰ δὲ τέως ὑποθέσθαι σοι βούλομαι. Δίκαιος δὲ εἶ πείθεσθαί b
μοι τὰ τοιαῦτα· καὶ γὰρ οὐδὲ ἀποσχεδιάζω τὰ πολλὰ τῶν τοιούτων, ὡς ἴσασιν οἱ θεοὶ πάντες, ἀλλά, εἴπερ τις ἄλλος, εὐλαβής εἰμι, καὶ φεύγω τὴν καινοτομίαν ἐν ἅπασι μέν, ὡς ἔπος εἰπεῖν, ἰδίᾳ δὲ ἐν τοῖς πρὸς τοὺς θεούς, οἰόμενος χρῆναι τοὺς πατρίους ἐξ ἀρχῆς φυλάττεσθαι νόμους, οὓς ὅτι μὲν ἔδοσαν οἱ θεοί, φανερόν· οὐ γὰρ ἂν ἦσαν οὕτω καλοὶ παρὰ ἀνθρώπων ἁπλῶς γενόμενοι. Συμβὰν δὲ αὐτοὺς ἀμε- c
ληθῆναι καὶ διαφθαρῆναι, πλούτου καὶ τρυφῆς ἐπικρατησάντων, οἶμαι δεῖν ὥσπερ ἀφ᾽ ἑστίας ἐπιμεληθῆναι τῶν τοιούτων.

3 sq. cf. p. 128, 26 sq. et 133, 4 sq. || 8 sq. cf. p. 138, 9 sq. || 15 sq. cf. p. 128, 19 sq.

V [V^d^U]

1/2 ἁπάντων — ἀπονέμοντι Hertlein : ἁπάντων | .... πολ (ιν fortasse supra scripto) ἱερ... καὶ ἀπονέμοντι V ἁπάντων ...ουμένω τοὺς καθεκάστην πόλιν ἱερέας καὶ ἀπονέμοντι V^d^ ἁπάντων.........τὴν πόλιν ἱε...καὶ ἀπονέ...τι U || **2/3** τὸ πρέπον ἑκάστῳ U ; ita legit Hertlein in V ; nunc vidimus τὸ πρέπ .... στ. in V || **3** πρέπει δὲ ἐπιείκεια V^d^ : ......|... είκεια V ......είκεια U || **4** ἀξίους Spanheim : ἀξί... VU || **5** ἀνόσιος V^d^ : ἀνό . ιος V ἄνομος U || **6** < δ' > Reiske || **8** ἱερῶν cod., corr. Hertlein || **9** σὺν U : .ὺν V || εἴσει Cobet : εἰσί cod. εἴσῃ Wyttenbach || **10** πείθεσθαί U : πείθε .. αι V || **12** ἴσασιν U : ἴ|. ασιν V || **13** καινοτομίαν U : καινο|.ομίαν V || **15** τοὺς πατρίους V^d^ : ... πατρι ... V ....πατρίους U || **16** ἂν V^d^ : .ν V .... U || **18** καὶ διαφθαρῆναι V^d^ Hercher et Spanheim : .αὶ διαφθ.. αι V καὶ διαφθ.....αι U || **19** ἀφ᾽ ἑστίας V^d^ et Spanheim : ἀφ' ἑ | (finis versus charta obducta tectus) V ἀφε.... U

Ὁρῶν οὖν πολλὴν μὲν ὀλιγωρίαν οὖσαν ἡμῖν πρὸς τοὺς θεούς, ἅπασαν δὲ εὐλάβειαν τὴν εἰς τοὺς κρείττονας ἀπεληλαμένην ὑπὸ τῆς ἀκαθάρτου καὶ χυδαίας τρυφῆς, ἀεὶ μὲν οὖν ὠδυράμην ἐγὼ κατ' ἐμαυτὸν τὰ τοιαῦτα, τοὺς μὲν
d .....ων....είας σχολῇ προσέχοντας οὕτω διαπύρους ὡς αἱρεῖσθαι μὲν ὑπὲρ αὐτῆς θάνατον, ἀνέχεσθαι δὲ πᾶσαν ἔνδειαν καὶ λιμόν, ὑείων ὅπως μὴ γεύσαιντο μηδὲ κρέως του μὴ παραχρῆμα ἀποθλιβέντος, ἡμᾶς δὲ οὕτω ῥαθύμως τὰ πρὸς τοὺς θεοὺς διακειμένους, ὥστε ἐπιλελῆσθαι μὲν τῶν πατρίων, ἀγνοεῖν δὲ λοιπὸν εἰ καὶ ἐτάχθη πώποτέ τι τοιοῦτον. Ἀλλ' οὗτοι μὲν ἐν μέρει θεοσεβεῖς ὄντες, ἐπείπερ ὃν τιμῶσι...,
454 ἀλλ' ἀληθῶς ὄντα δυνατώτατον καὶ ἀγαθώτατον, ὃς ἐπιτροπεύει τὸν αἰσθητὸν κόσμον, ὅνπερ εὖ οἶδ' ὅτι καὶ ἡμεῖς

---

11 sq. cf. Iulian. *C. Galil.* 96 C sq.; 106 D sq.; 238 C; 298 B; 306 B, etc.

V [VᵈU]

2 ἅπασαν Vᵈ : . πασαν V ...... U πᾶσαν Spanheim || **3** καὶ χυδαίας τρυφῆς Hertlein : .... (ας supra scripto, ut vid.) τρυφ.. V καὶ .. αίας τρυφῆς Vᵈ ....τρυφ... U ; cf. *C. Galil.* 238 B et D || **4/5** τοὺς μὲν | ..... ων .... ..ας V τοὺς μὲν . δρω. | των (τῇ δραπετῶν ?) εὐσεβείας Vᵈ τοὺς μὲν........ εὐσεβείας U τοὺς μὲν δυσσεβείας Spanheim ; « fortasse τοὺς μὲν τῇ Ἰουδαίων εὐσεβείας (malimus θεοσεβείας) σχολῇ » Hertlein : alludit Iulianus ad τοὺς θεοσεβεῖς vel προσηλύτους || **6** θάνατον Vᵈ : | ...... V ...... U || ἀνέχεσθαι δὲ U : ἀ ... εσθαι δὲ V || **7/8** μηδὲ κρέως του μὴ παραχρῆμα ἀποθλιβέντος scripsimus : μὴ δὲ | .. τοῦ (..ους τοῦ Vᵈ) μὴ παρὰ ..... ἀποθλιβέντος V μηδὲ .... τοῦ μὴ παρα .... ἀποθλιβέντος U μηδὲ πνικτοῦ (cf. *Acta Apost.* XV 20 et 29) μήτ' ἄρα (unde μηδ' ἄρα Hercher) τοῦ ἀποθλιβέντος Spanheim ; « *nisi sanguine extemplo expresso* » || **8** [τα] Hercher || **9** διακειμένους Spanheim : « ita V, sed ut spatium duarum litterarum ante hoc vocabulum pateat » Vᵈ | ...ειμένους V ...κειμένους U || ἐπιλελῆσθαι Spanheim : .....ῆσθαι V « ἐπιλε clarum ex vestigiis » Vᵈ ... λῆσθαι U || **10** πώποτέ τι Spanheim : | ..ποτέ τι V .. ποτέ τι U .. ωποτέ τι in V vidit Hercher ἄλλῳ ποτέ τι Vᵈ || **11/12** ὃν τιμῶσι | ... ἀλλ' ἀληθῶς V = U ; μόνον latere posse arbitratur Vᵈ ; « scripserim ἐπείπερ θεὸν τιμῶσι τὸν ὡς ἀληθῶς ὄντα δυνατώτατον » Cobet ; ἀλλ' Reiske quoque delet, ut e proximis perperam iteratum ; ἐπείπερ θεὸν τιμῶσιν οὐ νεκρόν, ἀλλ' ἀληθῶς ? Hertlein || **13** ὅνπερ Spanheim : ... V ο... U ὃν Hertlein

ἄλλοις θεραπεύομεν ὀνόμασιν. εἰκότα μοι δοκοῦσι ποιεῖν τοὺς νόμους μὴ παραβαίνοντες. ἐκεῖνο <δὲ> μόνον ἁμαρτάνειν, ὅτι μὴ καὶ τοὺς ἄλλους θεούς, ἀρέσκοντες τούτῳ μάλιστα τῷ θεῷ, θεραπεύουσιν. ἀλλ' ἡμῖν οἴονται τοῖς ἔθνεσιν ἀποκεκληρῶσθαι μόνοις αὐτούς, ἀλαζονείᾳ βαρβαρικῇ πρὸς ταυτηνὶ τὴν ἀπόνοιαν ἐπαρθέντες. Οἱ δὲ ἐκ τῆς b Γαλιλαίας δυσσεβεῖς ὥσπερ τι νόσημα τῷ βίῳ τὴν ἑαυτῶν...

89b [Fragmentum epistulae 288 A — 305 D].

Sequentia in media ad Themistium epistula inserta praebet cod. V; seorsum edidit Petau. Locus epistulae ad Themistium, in quo totum hoc fragmentum invenimus interpolatum, sic est refingendus (p. 256 C): καὶ τοὺς ἐν πολιτείᾳ ζῶντας οὐκ ἔνεστιν ἄνευ ταύτης ἀναπνεῖν τὸ δὴ λεγόμενον· πλὴν εἴ τις τὸν βασιλέα [fragmentum epistulae] καὶ στρατηγὸν λέγοι (λέγοι in λόγοι corr. V). καθάπερ οἱ τὰς ἰδέας εἴτε ἀληθῶς θεωροῦντες εἴτε καὶ ψευδῶς ξυντιθέντες etc. Cf. Bidez, *Rev. instruction publ. Belg.*, XLIV, 1901, p. 177 sq.

Hoc fragmentum scriptum est ineunte anno 363, cum iam reaedificari templum Hierosolymitanum Iulianus frustra iusserat (cf. p. 135, 20 sq.) et antequam libros contra Galilaeos edidit (cf. Asmus, *Zeitschr. für Kirchengesch.*, XVI, 1895, p. 69 sq., et 220 sq.; Iulian. infra p. 132, 14 sq. et *Contra Galilaeos*, 115 DE sq.). Sicut praecedentia (scil. ep. 89a), haec quoque ad Theodorum scripta esse verisimillimum est, quemadmodum plerique coniecerunt viri docti (cf. p. 123 sq. et 137 sq.). Ergo, nisi Iulianus bis ἰδιαίτερον ἐπιστολῆς εἶδος (p. 123, 18 sq.) Theodoro misit, quod cum Iuliani verbis parum quadraret, hoc fragmentum ad unam eandemque

---

V [V^d U]

2 τοὺς νόμους μὴ Spanheim : τοὺσ (vel σοὺσ) | ... μὴ V τοὺσ (vel σοὺσ) |.μουσ μὴ V^d σοὺσ ...... μὴ U || ἐκεῖνο < δὲ > μόνον Reiske : < καὶ > ἐκεῖνο μόνον vel ἁμαρτάνοντες Cobet || **3** ἀρέσκοντες τούτῳ Cobet : ἀρέσκ(ον) | ... τῶ (ut videtur) V ἀρέσκοντεσ (ita, vel ἀρέσκον. vel ἀρέσκεται) αὐτῶ V^d ἀρέσκ....τῷ U || **4** post τῷ θεῷ interpungit V ; τὸν θεὸν Cobet || **5** ἀποκεκληρῶσθαι V^d Reiske et Hercher : ἀποκεκλη-| .. σθαι V ἀποκεκλη..... U || **6** Οἱ δὲ Dübner : ...ε V ... U || **7** γαλιλαίασ V^d U : γαλι .. ίασ V || post ἑαυτῶν desinit f. 139^v, uno certe folio postea amisso, V ; τὴν ἑαυτῶν ἀθεότητα Asmus

epistulam atque priora pertinere existimandum est, sicut Asmus, *l. l.*, luculenter demonstravit.

288 ..... ἐπιδώσειεν ἀτακτοῦντάς τινας, αὐτίκα μάλα κολάζουσιν· ἐπὶ δὲ τοὺς οὐ προσιόντας τοῖς θεοῖς ἔστι τὸ τῶν πονηρῶν δαιμόνων τεταγμένον φῦλον, ὑφ' ὧν οἱ πολλοὶ παροιστρούμενοι τῶν ἀθέων ἀναπείθονται θανατᾶν, ὡς
b ἀναπτησόμενοι πρὸς τὸν οὐρανόν, ὅταν ἀπορρήξωσι τὴν ψυχὴν βιαίως. Εἰσὶ δὲ οἳ καὶ τὰς ἐρημίας ἀντὶ τῶν πόλεων διώκουσιν, ὄντος ἀνθρώπου φύσει πολιτικοῦ ζῴου καὶ ἡμέρου, δαίμοσιν ἐκδεδομένοι πονηροῖς, ὑφ' ὧν εἰς ταύτην ἄγονται τὴν μισανθρωπίαν. Ἤδη δὲ καὶ δεσμὰ καὶ κλοιοὺς ἐξεῦρον οἱ πολλοὶ τούτων· οὕτω πανταχόθεν αὐτοὺς ὁ κακὸς συνελαύνει δαίμων, ᾧ δεδώκασιν ἑκόντες ἑαυτούς,
c ἀποστάντες τῶν ἀϊδίων καὶ σωτήρων θεῶν· ἀλλ' ὑπὲρ μὲν τούτων ἀπόχρη τοσαῦτα εἰπεῖν· ὅθεν <δ'> ἐξέβην, εἰς τοῦτο ἐπανήξω.

Δικαιοπραγίας οὖν τῆς μὲν κατὰ τοὺς πολιτικοὺς νόμους εὔδηλον ὅτι μελήσει τοῖς ἐπιτρόποις τῶν πόλεων· πρέποι δ' ἂν καὶ ὑμῖν εἰς παραίνεσιν τὸ μὴ παραβαίνειν ἱεροὺς
289 ὄντας τῶν θεῶν τοὺς νόμους. Ἐπεὶ δὲ τὸν ἱερατικὸν βίον εἶναι χρὴ τοῦ πολιτικοῦ σεμνότερον, ἀκτέον ἐπὶ τοῦτον καὶ διδακτέον· ἕψονται δέ, ὡς εἰκός, οἱ βελτίους· ἐγὼ μὲν γὰρ εὔχομαι καὶ πάντας, ἐλπίζω δὲ τοὺς ἐπιεικεῖς φύσει καὶ σπουδαίους· ἐπιγνώσονται γὰρ οἰκείους ὄντας ἑαυτοῖς τοὺς λόγους.

Ἀσκητέα τοίνυν πρὸ πάντων ἡ φιλανθρωπία· ταύτῃ γὰρ
b ἕπεται πολλὰ μὲν καὶ ἄλλα τῶν ἀγαθῶν, ἐξαίρετον δὲ δὴ

---

9 sq. cf. Aristot. *Polit.* 1253 a 3 sq., etc. | **19** sq. cf. p. 125, 15 sq.

V

6 θανατᾶν Cobet : θάνατον cod. θάνατον <αἱρεῖσθαι> Reiske || 9 τἀνθρώπου Cobet || **12** ἐξηῦρον Hertlein || **15** <δ'> Cobet; cf. 226 C || **18** μελήσει Petau : ..... σει V

καὶ μέγιστον ἡ παρὰ τῶν θεῶν εὐμένεια. Καθάπερ γὰρ οἱ τοῖς ἑαυτῶν δεσπόταις συνδιατιθέμενοι περί τε φιλίας καὶ σπουδὰς καὶ ἔρωτας ἀγαπῶνται πλέον τῶν ὁμοδούλων, οὕτω νομιστέον φύσει φιλάνθρωπον ὂν τὸ θεῖον ἀγαπᾶν τοὺς φιλανθρώπους τῶν ἀνδρῶν. Ἡ δὲ φιλανθρωπία πολλὴ καὶ παντοία· καὶ τὸ πεφεισμένως κολάζειν τοὺς ἀνθρώπους ἐπὶ τῷ βελτίονι τῶν κολαζομένων, ὥσπερ οἱ διδάσκαλοι τὰ παιδία, καὶ τὸ τὰς χρείας αὐτῶν ἐπανορθοῦν, ὥσπερ c
οἱ θεοὶ τὰς ἡμετέρας. Ὁρᾶτε ὅσα ἡμῖν δεδώκασιν ἐκ τῆς γῆς ἀγαθά, τροφὰς παντοίας, καὶ ὁπόσας οὐδὲ ὁμοῦ πᾶσι τοῖς ζῴοις. Ἐπεὶ δὲ ἐτέχθημεν γυμνοί, ταῖς τε τῶν ζῴων ἡμᾶς θριξὶν ἐσκέπασαν καὶ τοῖς ἐκ τῆς γῆς φυομένοις καὶ τοῖς ἐκ δένδρων. Καὶ οὐκ ἤρκεσεν ἁπλῶς οὐδὲ αὐτοσχεδίως, καθάπερ ὁ Μωυσῆς ἔφη, τοὺς χιτῶνας λαβεῖν d
δερματίνους, ἀλλ' ὁρᾶτε ὅσα ἐγένετο τῆς ἐργάνης Ἀθηνᾶς τὰ δῶρα. Ποῖον οἴνῳ χρῆται ζῷον, ποῖον ἐλαίῳ, πλὴν εἴ τισιν ἡμεῖς καὶ τούτων μεταδίδομεν, οἱ τοῖς ἀνθρώποις οὐ μεταδιδόντες; Τί δὲ τῶν θαλαττίων σίτῳ, τί δὲ τῶν χερσαίων τοῖς ἐν τῇ θαλάττῃ χρῆται; Χρυσὸν οὔπω λέγω καὶ χαλκὸν καὶ σίδηρον· οἷς πᾶσιν οἱ θεοὶ ζαπλούτους ἡμᾶς ἐποίησαν, οὐχ ἵνα ὄνειδος αὐτῶν περιορῶμεν περι- 290
νοστοῦντας τοὺς πένητας, ἄλλως τε ὅταν καὶ ἐπιεικεῖς τινες τύχωσι τὸν τρόπον, οἷς πατρῷος μὲν κλῆρος οὐ γέγονεν, ὑπὸ δὲ μεγαλοψυχίας ἥκιστα ἐπιθυμοῦντες χρημάτων πένονται.

Τούτους ὁρῶντες οἱ πολλοὶ τοὺς θεοὺς ὀνειδίζουσιν. Αἴτιοι δὲ θεοὶ μὲν οὐκ εἰσὶ τῆς τούτων πενίας, ἡ δὲ ἡμῶν

---

1 sq. cf. Dio Chrys. *Orat.* I 44 sq. p. 58 Reiske || **14** sq. *Gen.* 3, 21.

V

2 συνδιαθέμενοι cod., corr. Cobet || **6** παντοία, <ἐν δὲ τοῖς μάλιστα> vel <ἐν δὲ τοῖς πρώτοις> Reiske <οἷον> P. Thomas || **8** χρείας Petau : χεῖρας cod. || **26** τούτους <γὰρ> Reiske

τῶν κεκτημένων ἀπληστία καὶ τοῖς ἀνθρώποις ὑπὲρ τῶν
θεῶν οὐκ ἀληθοῦς ὑπολήψεως αἰτία γίνεται καὶ προσέτι
b τοῖς θεοῖς ὀνείδους ἀδίκου. Τί γὰρ ἀπαιτοῦμεν; ἵνα
χρυσὸν ὥσπερ τοῖς Ῥοδίοις ὁ θεὸς ὕσῃ τοῖς πένησιν;
Ἀλλὰ εἰ καὶ τοῦτο γένοιτο, ταχέως ἡμεῖς ὑποβαλόμενοι
τοὺς οἰκέτας καὶ προθέντες πανταχοῦ τὰ ἀγγεῖα, πάντας
ἀπελάσομεν, ἵνα μόνοι τὰ κοινὰ τῶν θεῶν ἁρπάσωμεν δῶρα.
Θαυμάσειε δ' ἄν τις εἰκότως, εἰ τοῦτο μὲν ἀξιοῦμεν οὔτε
πεφυκὸς γίνεσθαι καὶ ἀλυσιτελὲς πάντη, τὰ δυνατὰ δὲ μὴ
c πράττομεν. Τίς γὰρ ἐκ τοῦ μεταδιδόναι τοῖς πέλας ἐγένετο
πένης; Ἐγώ τοι πολλάκις τοῖς δεομένοις προέμενος, ἐκτη-
σάμην αὐτὰ παρ' αὐτῶν πολλαπλάσια, καίπερ ὢν φαῦλος
χρηματιστής, καὶ οὐδέποτέ μοι μετεμέλησε προεμένῳ. Καὶ
τὰ μὲν νῦν οὐκ ἂν εἴποιμι· καὶ γὰρ ἂν εἴη παντελῶς ἄλο-
γον, εἰ τοὺς ἰδιώτας ἀξιώσαιμι βασιλικαῖς παραβάλλεσθαι
d χορηγίαις· ἀλλ' ὅτε ἔτι ἐτύγχανον ἰδιώτης, σύνοιδα ἐμαυτῷ
τοῦτο ἀποβὰν πολλάκις. Ἀπεσώθη μοι τέλειος ὁ κλῆρος τῆς
τήθης, ἐχόμενος ὑπ' ἄλλων βιαίως, ἐκ βραχέων ὧν εἶχον
ἀναλίσκοντι τοῖς δεομένοις καὶ μεταδιδόντι.

Κοινωνητέον οὖν τῶν χρημάτων ἅπασιν ἀνθρώποις, ἀλλὰ
τοῖς μὲν ἐπιεικέσιν ἐλευθεριώτερον, τοῖς δὲ ἀπόροις καὶ
πένησιν ὅσον ἐπαρκέσαι τῇ χρείᾳ· φαίην δ' ἄν, εἰ καὶ παρά-
δοξον εἰπεῖν, ὅτι καὶ τοῖς πολεμίοις ἐσθῆτος καὶ τρο-
291 φῆς ὅσιον ἂν εἴη μεταδιδόναι· τῷ γὰρ ἀνθρωπίνῳ καὶ οὐ
τῷ τρόπῳ δίδομεν. Διόπερ οἶμαι καὶ τοὺς ἐν δεσμωτηρίῳ
καθειργμένους ἀξιωτέον τῆς τοιαύτης ἐπιμελείας· οὐθὲν

4 cf. Pind. *Ol.* VII 49 sq. Liban. *Epist.* 348 § 11, etc.

V

5 ὑποβαλλόμενοι cod., corr. Cobet || **6** προσθέντες cod., corr. Petau || **10** πράττωμεν cod., corr. Reiske || **11** <πολλὰ> πολλάκις Horkel || **12** αὐτὰ παρ' αὐτῶν cod.; an πάραυτα αὐτῶν? || **15** παραβαλέσθαι Petau || **18** τήθης Cobet : τίτθης cod. || **23** πολεμίοις : πονηροῖς Hertlein; cf. p. 131, 4 sq. || **26** οὐδὲν Hertlein

γὰρ κωλύσει τὴν δίκην ἡ τοιαύτη φιλανθρωπία. Χαλεπὸν γὰρ ἂν εἴη, πολλῶν ἀποκεκλεισμένων ἐπὶ κρίσει, καὶ τῶν μὲν ὀφλησόντων, τῶν δὲ ἀθῴων ἀποφανθησομένων, μὴ διὰ τοὺς ἀναιτίους οἶκτόν τινα νέμειν καὶ τοῖς πονηροῖς, ἀλλὰ τῶν πονηρῶν ἕνεκα καὶ περὶ τοὺς οὐδὲν ἠδικηκότας ἀνηλεῶς b καὶ ἀπανθρώπως διακεῖσθαι.

Ἐκεῖνο δὲ ἐννοοῦντί μοι παντάπασιν ἄδικον καταφαίνεται. Ξένιον ὀνομάζομεν Δία, καὶ γιγνόμεθα τῶν Σκυθῶν κακοξενώτεροι. Πῶς οὖν ὁ βουλόμενος τῷ ξενίῳ θῦσαι Διὶ φοιτᾷ πρὸς τὸν νεών; μετὰ ποταποῦ συνειδότος, ἐπιλαθόμενος τοῦ

πρὸς γὰρ Διός εἰσιν ἅπαντες
πτωχοί τε ξεῖνοί τε· δόσις δ᾽ ὀλίγη τε φίλη τε; c

Πῶς δὲ ὁ τὸν ἑταίρειον θεραπεύων Δία, ὁρῶν τοὺς πέλας ἐνδεεῖς χρημάτων, εἶτα μηδ᾽ ὅσον δραχμῆς μεταδιδούς, οἴεται τὸν Δία καλῶς θεραπεύειν; Ὅταν εἰς ταῦτα ἀπίδω, παντελῶς ἀχανὴς γίνομαι, τὰς μὲν ἐπωνυμίας τῶν θεῶν [ἅμα τῷ κόσμῳ τῷ ἐξ ἀρχῆς] ὥσπερ εἰκόνας γραπτὰς ὁρῶν, ἔργῳ δὲ ὑφ᾽ ἡμῶν οὐδὲν τοιοῦτον ἐπιτηδευόμενον. Ὁμό- d γνιοι λέγονται παρ᾽ ἡμῖν θεοὶ καὶ Ζεὺς ὁμόγνιος, ἔχομεν δὲ ὥσπερ πρὸς ἀλλοτρίους τοὺς συγγενεῖς. Ἄνθρωπος γὰρ ἀνθρώπῳ καὶ ἑκὼν καὶ ἄκων πᾶς ἐστι συγγενής, εἴτε [γάρ], καθάπερ λέγεται παρά τινων, ἐξ ἑνός τε καὶ μιᾶς γεγόναμεν πάντες, εἴθ᾽ ὁπωσοῦν ἄλλως, ἀθρόως ὑποστησάντων ἡμᾶς τῶν θεῶν ἅμα τῷ κόσμῳ τῷ ἐξ ἀρχῆς, οὐχ ἕνα καὶ

---

8 sq. cf. Dio Chrys. *Orat.* I 39-41 p. 56 sq. Reiske, et XII 75-78 p. 412 sq. Reiske || 12 sq. Homer. ξ 57 sq. et ζ 207 sq. : cf. supra p. 115, 4 sq.

V

4 καὶ Cobet : ἐν cod. ; ἐν deleverat Petau || 11 τοῦ Petau : τε cod. || 13 ξεῖνοί τε πτωχοί τε Homer. || 14 ἑταίρειον cod., corr. Cobet || 15 δραχμῆσ cod., corr. Petau || 18 ἅμα τῷ κόσμῳ τῷ ἐξ ἀρχῆς seclusimus : cf. v. 25 || 22 [γάρ] Hertlein

292 μίαν, ἀλλὰ πολλοὺς ἅμα καὶ πολλάς. Οἱ γὰρ ἕνα καὶ μίαν δυνηθέντες, οἷοί τε ἦσαν ἅμα καὶ πολλοὺς καὶ πολλάς· καὶ γὰρ ὃν τρόπον τόν τε ἕνα καὶ τὴν μίαν, τὸν αὐτὸν τρόπον τοὺς πολλούς τε καὶ τὰς πολλὰς *** εἴς τε τὸ διάφορον ἀποβλέψαντα τῶν ἠθῶν καὶ τῶν νόμων, οὐ μὴν ἀλλὰ καί, ὅπερ ἐστὶ μεῖζον καὶ τιμιώτερον καὶ κυριώτερον, εἰς τὴν τῶν θεῶν φήμην, ἣ παραδέδοται διὰ τῶν ἀρχαίων ἡμῖν θεουρ-
b γῶν, ὡς, ὅτε Ζεὺς ἐκόσμει τὰ πάντα, σταγόνων αἵματος ἱεροῦ πεσουσῶν ἐξ οὐρανοῦ τὸ τῶν ἀνθρώπων βλαστήσειε γένος· καὶ οὕτως οὖν συγγενεῖς γινόμεθα πάντες, εἰ μὲν ἐξ ἑνὸς καὶ μιᾶς, ἐκ δυοῖν ἀνθρώποιν ὄντες οἱ πολλοὶ καὶ πολλαί, — καθάπερ οἱ θεοί φασι καὶ χρὴ πιστεύειν ἐπιμαρτυρούντων τῶν ἔργων, ἐκ τῶν θεῶν πάντες γεγονότες. Ὅτι δὲ πολλοὺς ἅμα ἀνθρώπους γενέσθαι μαρτυρεῖ τὰ
c ἔργα, ῥηθήσεται μὲν ἀλλαχοῦ δι᾽ ἀκριβείας· ἐνταῦθα δὲ ἀρκέσει τοσοῦτον εἰπεῖν, ὡς ἐξ ἑνὸς μὲν καὶ μιᾶς οὖσιν οὔτε τοὺς νόμους εἰκὸς ἐπὶ τοσοῦτον παραλλάξαι, οὔτε ἄλλως τὴν γῆν ὑφ᾽ ἑνὸς ἐμπλησθῆναι πᾶσαν, οὐδὲ εἰ ἅμα πολλὰ καθάπερ αἱ σύες ἔτικτον αὐτοῖς αἱ γυναῖκες· πανταχοῦ δὲ ἀθρόως νευσάντων θεῶν, ὅνπερ τρόπον ὁ εἷς, οὕτω δὲ καὶ οἱ πλείους προῆλθον ἄνθρωποι, τοῖς γενεάρχαις θεοῖς ἀποκληρωθέντες, οἳ καὶ προήγαγον αὐτούς, ἀπὸ τοῦ δημιουργοῦ τὰς ψυχὰς παραλαμβάνοντες ἐξ αἰῶνος. Κἀκεῖνο δ᾽ ἄξιον ἐννοεῖν, ὅσοι παρὰ τῶν ἔμπροσθεν ἀνάλωνται

---

14 sq. et 21 sq. cf. *C. Galil.* 115 D sq., etc. || 24 sq. cf. Aristot. *Ethic. Eudem.* 1242 a 25

V

2 « post πολλάς deesse videtur ποιεῖν vel ὑποστῆσαι » Reiske ; an δυνηθέντες < ποιεῖν > ? || 3 τόν τε Cobet : τότε cod. || 4 lacunam significavimus ; πολλὰς < χρὴ ὑπολαβεῖν γεγενῆσθαι > Reiske || 9 ἐξ οὐρανοῦ scripsimus : ἐξ ὧν που cod. ; an ἐξ Ὀλύμπου ? || 10, 11 [εἰ μὲν — ὄντες] Petau et Reiske || 12 lacunam significavimus ; < εἰ δέ >, καθάπερ Hertlein || 18 εἰ < τέκνα > ? Hertlein || 19 αὐτοῖσ cod. : an < τοῖς > ἀνθρώποις ? || 20 ἀθρόως νευσάντων : cf. p. 131, 24 sq. || < τῶν > θεῶν Hertlein || 24 δ᾽ ἄξιον Toup : δεξιόν cod.

λόγοι περὶ τοῦ φύσει κοινωνικὸν εἶναι [τὸ] ζῷον τὸν
ἄνθρωπον. Ἡμεῖς οὖν, οἱ ταῦτα εἰπόντες καὶ διατάξαντες,
ἀκοινωνήτως πρὸς τοὺς πλησίον ἕξομεν;

Ἐκ δὴ τῶν τοιούτων ἠθῶν τε καὶ ἐπιτηδευμάτων ἕκαστος
ἡμῶν ὁρμώμενος, εὐλαβείας τῆς εἰς τοὺς θεούς, χρηστότη- 293
τος τῆς εἰς ἀνθρώπους, ἁγνείας τῆς περὶ τὸ σῶμα, τὰ τῆς
εὐσεβείας ἔργα πληρούτω, πειρώμενος δε.. ἀεί τι περὶ τῶν
θεῶν εὐσεβὲς διανοεῖσθαι, καὶ μετά τινος ἀποβλέπων εἰς
τὰ ἱερὰ τῶν θεῶν καὶ τὰ ἀγάλματα τιμῆς καὶ ὁσιότητος,
σεβόμενος ὥσπερ ἂν εἰ παρόντας ἑώρα τοὺς θεούς. Ἀγάλματα
γὰρ καὶ βωμοὺς καὶ πυρὸς ἀσβέστου φυλακὴν καὶ πάντα
ἁπλῶς τὰ τοιαῦτα σύμβολα οἱ πατέρες ἔθεντο τῆς παρουσίας b
τῶν θεῶν, οὐχ ἵνα ἐκεῖνα θεοὺς νομίσωμεν, ἀλλ᾽ ἵνα δι᾽
αὐτῶν τοὺς θεοὺς θεραπεύσωμεν. Ἐπειδὴ γὰρ ἡμᾶς, ὄντας
ἐν σώματι, σωματικὰς ἔδει ποιεῖσθαι τοῖς θεοῖς καὶ τὰς
λατρείας, ἀσώματοι δέ εἰσιν αὐτοί, πρῶτα μὲν ἔδειξαν
ἡμῖν ἀγάλματα τὸ δεύτερον ἀπὸ τοῦ πρώτου τῶν θεῶν
γένος περὶ πάντα τὸν οὐρανὸν κύκλῳ περιφερόμενον. c
Δυναμένης δὲ οὐδὲ τούτοις ἀποδίδοσθαι τῆς θεραπείας
σωματικῶς (ἀπροσδεῆ γάρ ἐστι φύσει), τρίτον ἐπὶ γῆς
ἐξευρέθη γένος ἀγαλμάτων, εἰς ὃ τὰς θεραπείας ἐκτε-
λοῦντες, ἑαυτοῖς εὐμενεῖς τοὺς θεοὺς καταστήσομεν.
Ὥσπερ γὰρ οἱ τῶν βασιλέων θεραπεύοντες εἰκόνας, οὐθὲν
δεομένων, ὅμως ἐφέλκονται τὴν εὔνοιαν εἰς ἑαυτούς, οὕτως
καὶ οἱ θεῶν θεραπεύοντες τὰ ἀγάλματα, δεομένων οὐθὲν d
τῶν θεῶν, ὅμως πείθουσιν αὐτοὺς ἐπαμύνειν σφίσι καὶ

V [U]

1 [τό] Cobet : cf. Iulian. 201 C || 2 ταῦτα vel forte ταὐτὰ <αὐτοὶ>? Reiske || 7 δε .. | V (ubi in fine versus, quot litterae perierint, incertum): δέον U δὲ οὖν Petau δὲ Spanheim τε Reiske; an δεόντως? || 11 βωμός — φυλακή cod., corr. Spanheim || 15 σωματικῶς Petau || 20 ἀπροσδεᾶ Hertlein || τρίτον : « imo vero δεύτερον, nondum enim secundum genus simulacrorum fuit nominatum, sed solummodo primum » Reiske ; ἕτερον Hertlein || 21 ἐξηυρέθη Hertlein || 23 et 25 οὐδὲν Hertlein || 26 ὅμως Petau : ὅπως cod.

κήδεσθαι. Δεῖγμα γάρ ἐστιν <τῆς> ὡς ἀληθῶς ὁσιότητος
ἡ περὶ τὰ δυνατὰ προθυμία, καὶ ὁ ταύτην πληρῶν εὔδηλον
ὅτι μειζόνως ἐκείνην ἀποδίδωσιν, ὁ δὲ τῶν δυνατῶν
ὀλιγωρῶν, εἶτα προσποιούμενος τῶν ἀδυνάτων ὀρέγεσθαι,
δῆλός ἐστιν οὐκ ἐκεῖνα μεταδιώκων, ἀλλὰ ταῦτα παρορῶν.
294 Οὐδὲ γάρ, εἰ μηδενὸς ὁ θεὸς δεῖται, διὰ τοῦτο οὐδὲν αὐτῷ
προσοιστέον. Οὐδὲ γὰρ τῆς διὰ λόγων εὐφημίας δεῖται. Τί
οὖν; εὔλογον αὐτὸν ἀποστερῆσαι καὶ ταύτης; Οὐδαμῶς.
Οὐκ ἄρα οὐδὲ τῆς διὰ τῶν ἔργων εἰς αὐτὸν γιγνομένης
τιμῆς, ἣς ἐνομοθέτησαν οὐκ ἐνιαυτοὶ τρεῖς οὐδὲ τρισχίλιοι,
πᾶς δὲ ὁ προλαβὼν αἰὼν ἐν πᾶσι τοῖς τῆς γῆς ἔθνεσιν.

bc Ἀφορῶντες οὖν εἰς τὰ τῶν θεῶν ἀγάλματα, μήτοι νομί-
ζωμεν αὐτὰ λίθους εἶναι μήτε ξύλα, μηδὲ μέντοι τοὺς
θεοὺς αὐτοὺς εἶναι ταῦτα. Καὶ γὰρ οὐδὲ τὰς βασιλικὰς
εἰκόνας ξύλα καὶ λίθον καὶ χαλκὸν λέγομεν, οὐ μὴν οὐδὲ
αὐτοὺς τοὺς βασιλέας, ἀλλὰ εἰκόνας βασιλέων. Ὅστις οὖν
d ἐστι φιλοβασιλεύς, ἡδέως ὁρᾷ τὴν τοῦ βασιλέως εἰκόνα, καὶ
ὅστις ἐστὶ φιλόπαις, ἡδέως ὁρᾷ τὴν τοῦ παιδός, καὶ ὅστις
φιλοπάτωρ, τὴν τοῦ πατρός· οὐκοῦν καὶ ὅστις φιλόθεος,
ἡδέως εἰς τὰ τῶν θεῶν ἀγάλματα καὶ τὰς εἰκόνας ἀπο-
βλέπει, σεβόμενος ἅμα καὶ φρίττων ἐξ ἀφανοῦς ὁρῶντας
εἰς αὐτὸν τοὺς θεούς. Εἴ τις οὖν οἴεται δεῖν αὐτὰ μηδὲ
φθείρεσθαι διὰ τὸ θεῶν ἅπαξ εἰκόνας κληθῆναι, παντελῶς

V [U]

1 <τῆς> supplevimus || **3** « fortasse ὅτι <καὶ> μειζόνως — ἀποδώσει » Reiske || **11** post ἔθνεσιν add. cod. : ἀλλ' οὐκ ἐχρῆν, ὦ πᾶσαν δαιμόνων πληθὺν ἀναστηλώσας τῇ σῇ ψυχῇ, τοὺς κατὰ σὲ ἀνειδέους καὶ ἀσχηματίστους σωματοπλαστεῖσθαι· πῶς δὲ οὐ ξύλα καὶ λίθους νομίσωμεν ἃ χεῖρες ἀνθρώπων ἐμόρφωσαν; ὦ καὶ τῶν λίθων αὐτῶν ἀφρονέστερε, οὕτως οἴει πάντας ἐκ τῶν ῥινῶν ἕλκεσθαι ὥσπερ σὺ παρὰ τῶν ἀλιτηρίων δαιμόνων, ὥστε θεοὺς ἡγεῖσθαι τὰ αὐτῶν τεχνουργήματα; eas indignantis cuiusdam Christiani lectoris vituperationes esse e margine in textum translatas primus affirmavit Horkel || **13** μήτε : μηδὲ Hertlein || **15** καὶ λίθον καὶ χαλκὸν U : καὶ λί.......... V || **16/17** ὅστις οὖν ἐστι βασιλεὺς U : ?.... οὖν.... | βασιλεὺς V ; φιλοβασιλεὺς restituit Petau || **19** τὴν, α supra ἡν scripto, cod.

ἄφρων εἶναί μοι φαίνεται· χρῆν γὰρ δήπουθεν αὐτὰ μηδὲ
ὑπὸ ἀνθρώπων γενέσθαι. Τὸ δὲ ὑπ᾽ ἀνδρὸς σοφοῦ καὶ ἀγα-
θοῦ γενόμενον ὑπὸ ἀνθρώπου πονηροῦ καὶ ἀμαθοῦς φθαρῆ- 295
ναι δύναται· τὰ δὲ ὑπὸ τῶν θεῶν ζῶντα ἀγάλματα κατα-
σκευασθέντα τῆς ἀφανοῦς αὐτῶν οὐσίας, οἱ περὶ τὸν
οὐρανὸν κύκλῳ φερόμενοι θεοί, μένει τὸν ἀεὶ χρόνον ἀΐδια.
Μηδεὶς οὖν ἀπιστείτω θεοῖς, ὁρῶν καὶ ἀκούων ὡς ἐνύβρισάν
τινες εἰς τὰ ἀγάλματα καὶ τοὺς ναούς. Ἆρ᾽ οὐκ ἀνθρώπους
χρηστοὺς ἀπέκτειναν πολλοί, καθάπερ Σωκράτη καὶ Δίωνα b
καὶ τὸν μέγαν Ἐμπεδότιμον; Ὧν εὖ οἶδ᾽ ὅτι μᾶλλον ἐμέ-
λησε τοῖς θεοῖς. Ἀλλ᾽ ὁρᾶτε ὅτι καὶ τούτων φθαρτὸν εἰδό-
τες τὸ σῶμα συνεχώρησαν εἶξαι τῇ φύσει καὶ ὑποχωρῆσαι,
δίκην δὲ ἀπήτησαν ὕστερον παρὰ τῶν κτεινάντων· ὃ δὴ
συνέβη φανερῶς ἐφ᾽ ἡμῶν ἐπὶ πάντων τῶν ἱεροσύλων.

Μηδεὶς οὖν ἀπατάτω λόγοις μηδὲ ταραττέτω περὶ τῆς
προνοίας ἡμᾶς· οἱ γὰρ ἡμῖν ὀνειδίζοντες τὰ τοιαῦτα, τῶν c
Ἰουδαίων οἱ προφῆται, τί περὶ τοῦ νεὼ φήσουσι τοῦ παρ᾽
αὐτοῖς τρίτον ἀνατραπέντος, ἐγειρομένου δὲ οὐδὲ νῦν;
Ἐγὼ δὲ εἶπον οὐκ ὀνειδίζων ἐκείνοις, ὅς γε τοσούτοις ὕστε-
ρον χρόνοις ἀναστήσασθαι διενοήθην αὐτὸν εἰς τιμὴν τοῦ
κληθέντος ἐπ᾽ αὐτῷ θεοῦ· νυνὶ δὲ ἐχρησάμην αὐτῷ, δεῖξαι
βουλόμενος ὅτι τῶν ἀνθρωπίνων οὐδὲν ἄφθαρτον εἶναι d
δύναται, καὶ οἱ τὰ τοιαῦτα γράφοντες ἐλήρουν προφῆται,
γραϊδίοις ψυχροῖς ὁμιλοῦντες. Οὐθὲν δέ, οἶμαι, κωλύει τὸν
μὲν θεὸν εἶναι μέγαν, οὐ μὴν σπουδαίων προφητῶν οὐδὲ
ἐξηγητῶν τυχεῖν· αἴτιον δὲ ὅτι τὴν ἑαυτῶν ψυχὴν οὐ
παρέσχον ἀποκαθᾶραι τοῖς ἐγκυκλίοις μαθήμασιν, οὔτε
ἀνοῖξαι μεμυκότα λίαν τὰ ὄμματα, οὐδὲ ἀνακαθᾶραι τὴν

V

10 Empedotimum cum Hermotimo confusum esse sive a scriba quodam sive ab ipso Iuliano putat E. Rohde *Psyche* II[6] 95 in adn. ‖ **21** ἐπ᾽ αὐτῷ cod. : an Ὑψίστου? cf. p. 193, 8 ‖ **24** γραδίοις Hertlein ‖ Οὐδὲν Hertlein ‖ **27** ἀποκαθῆραι Hertlein ‖ οὔτε : οὐδὲ Hertlein ‖ **28** ἀνακαθῆραι Hertlein

293 ἐπικειμένην αὐτοῖς ἀχλύν, ἀλλ᾽ οἷον φῶς μέγα δι᾽ ὁμίχλης οἱ ἄνθρωποι βλέποντες οὐ καθαρῶς οὐδὲ εἰλικρινῶς, αὐτὸ δὲ ἐκεῖνο νενομικότες οὐχὶ φῶς καθαρόν, ἀλλὰ πῦρ, καὶ τῶν περὶ αὐτὸ πάντων ὄντες ἀθέατοι, βοῶσι μεγάλα· « φρίττετε, φοβεῖσθε, πῦρ, φλόξ, θάνατος, μάχαιρα, ῥομφαία », πολλοῖς ὀνόμασι μίαν ἐξηγούμενοι τὴν βλαπτικὴν τοῦ πυρὸς δύναμιν. Ἀλλ᾽ ὑπὲρ μὲν τούτων ἰδίᾳ βέλτιον παραστῆ-
b σαι πόσῳ φαυλότεροι τῶν παρ᾽ ἡμῖν οὗτοι γεγόνασι ποιητῶν οἱ τῶν ὑπὲρ τοῦ θεοῦ λόγων διδάσκαλοι.

Προσήκει δὲ οὐ τὰ τῶν θεῶν μόνον ἀγάλματα προσκυνεῖν, ἀλλὰ καὶ τοὺς ναοὺς καὶ τὰ τεμένη καὶ τοὺς βωμούς. Εὔλογον δὲ καὶ τοὺς ἱερέας τιμᾶν ὡς λειτουργοὺς θεῶν καὶ ὑπηρέτας καὶ διακονοῦντας ἡμῖν τὰ πρὸς τοὺς θεούς, συνεπισχύοντας τῇ ἐκ θεῶν εἰς ἡμᾶς τῶν ἀγαθῶν δόσει·
c προθύουσι γὰρ πάντων καὶ ὑπερεύχονται. Δίκαιον οὖν ἀποδιδόναι πᾶσιν αὐτοῖς οὐκ ἔλαττον, εἰ μὴ καὶ πλέον ἢ τοῖς πολιτικοῖς ἄρχουσι τὰς τιμάς. Εἰ δέ τις οἴεται τοῦτο ἐπίσης χρῆναι νέμειν αὐτοῖς καὶ τοῖς πολιτικοῖς ἄρχουσιν, ἐπεὶ κἀκεῖνοι τρόπον τινὰ τοῖς θεοῖς ἱερατεύουσι, φύλακες ὄντες τῶν νόμων, ἀλλὰ τά γε τῆς εὐνοίας παρὰ πολὺ χρὴ
d νέμειν τούτοις. Οἱ μὲν γὰρ Ἀχαιοὶ καίπερ πολέμιον ὄντα τὸν ἱερέα προσέταττον αἰδεῖσθαι τῷ βασιλεῖ· ἡμεῖς δὲ οὐδὲ τοὺς φίλους αἰδούμεθα τοὺς εὐχομένους ὑπὲρ ἡμῶν καὶ θύοντας;

Ἀλλ᾽ ἐπείπερ ὁ λόγος εἰς τὴν πάλαι ποθουμένην ἀρχὴν ἐλήλυθεν, ἄξιον οἶμαί μοι διελθεῖν ἐφεξῆς ὁποῖός τις ὢν ὁ

---

3 cf. *C. Galil.* 155 D. *Deuteron.* 4, 24. etc. 21 sq. cf. Homer. A 23

V

2 οἱ ἄνθρωποι : an οἱ ἀνόητοι ? || 4 μέγα Cobet || 8 οὗτοι Petau : οὕτω cod. || 9 ὑπὲρ τοῦ cod. : an <τοῦ> ὑπερτάτου ? || 16 εἰ μὴ καὶ Hertlein : εἰ καὶ μὴ cod. 17 18 ἐπ᾽ ἴσης Hertlein 26 οἶμαί μοι Petau : εἶναι μοι cod. εἶναί μοι <δοκεῖ> Cobet

ἱερεὺς αὐτός τε δικαίως τιμηθήσεται *** τὸ γὰρ ἡμέτερον οὐ χρὴ σκοπεῖν οὐδὲ ἐξετάζειν, ἀλλὰ ἕως ἂν ἱερεύς τις ὀνο- 297
μάζηται, τιμᾶν αὐτὸν χρὴ καὶ θεραπεύειν, εἰ δὲ εἴη πονηρός, ἀφαιρεθέντα τὴν ἱερωσύνην, ὡς ἀνάξιον ἀποφανθέντα περιορᾶν· ἕως δὲ προθύει καὶ κατάρχεται καὶ παρίσταται τοῖς θεοῖς, ὡς τὸ τιμιώτατον τῶν θεῶν κτῆμα προσβλεπτέος ἐστὶν ἡμῖν μετὰ αἰδοῦς καὶ εὐλαβείας. Ἄτοπον γὰρ εἰ τοὺς μὲν λίθους, ἐξ ὧν οἱ βωμοὶ πεποίηνται, διὰ τὸ καθιερῶσθαι τοῖς θεοῖς ἀγαπήσομεν, ὅτι μορφὴν ἔχουσι καὶ σχῆμα πρέπον εἰς ἣν εἰσι κατεσκευασμένοι λειτουρ- b
γίαν, ἄνδρα δὲ καθωσιωμένον τοῖς θεοῖς οὐκ οἰησόμεθα χρῆναι τιμᾶν. Ἴσως ὑπολήψεταί τις· ἀλλὰ ἀδικοῦντα καὶ ἐξαμαρτάνοντα πολλὰ τῶν πρὸς τοὺς θεοὺς ὁσίων ; Ἐγὼ δή φημι χρῆναι τὸν μὲν τοιοῦτον ἐξελέγχειν, ἵνα μὴ πονηρὸς ὢν ἐνοχλῇ τοὺς θεούς, ἕως δὲ ἐξελέγχῃ τις, μὴ ἀτιμάζειν. Οὐδὲ γὰρ εὔλογον, ἐπιλαβομένους ταύτης τῆς
ἀφορμῆς, οὐ τούτων μόνον, ἀλλὰ καὶ τῶν ἐπιτηδείων τιμᾶ- c
σθαι [καὶ] τὴν τιμὴν προσαφαιρεῖσθαι. Ἔστω τοίνυν, ὥσπερ ἄρχων, οὕτω δὲ καὶ ἱερεὺς πᾶς αἰδέσιμος, ἐπειδὴ καὶ ἀπόφασίς ἐστι θεοῦ τοῦ Διδυμαίου τοιαύτη·

Ὅσσοι ἐς ἀρητῆρας ἀτασθαλίῃσι νόοιο
ἀθανάτων ῥέζουσ᾽ ἀποφώλια, καὶ γεράεσσιν

2 sq. cf. p. 121, 12 sq. || 21 — p. 138, 4 cf. p. 122, 7-12.

V

1 « aut τε delendum est, aut deest aliquid, e. g. ἱερεὺς τούς τε θεοὺς ὁσίως τιμήσῃ, αὐτός τε δικαίως ὑπ᾽ ἀνθρώπων τιμηθήσεται » Reiske ; (post αὐτός τε δικαίως τιμηθήσεται) « desiderantur complura ... nam αὐτός τε arguit alteram sententiae partem a Iuliano fuisse additam ; nisi forte liberiore orationis compositione Iulianus usus est » Cobet ; « haec fere videntur excidisse : καὶ τοὺς θεοὺς τιμᾶσθαι ποιήσει » Hertlein, qui lacunam significavit || 4 ἀποφανέντα Petau || 9 ἀγαπῶμεν Cobet || 11 καθωσιωμένον Cobet : καθοσιούμενον cod. || 15 δ᾽ <ἂν> Hertlein || « immo ἐξελέγξῃ » Hertlein || 18 [καὶ] Cobet || προσαφαιρεῖσθαι : « in illo πρὸς est notio una, una cum indignis etiam dignos fraudare suis honoribus » Reiske

ἀντία βουλεύουσιν ἀδεισιθέοισι λογισμοῖς,
οὐκέθ' ὅλην βιότοιο διεκπερόωσιν ἀταρπόν,
ὅσσοι περ μακάρεσσιν ἐλωβήσαντο θεοῖσιν,
ὧν κεῖνοι θεόσεπτον ἕλον θεραπηΐδα τιμήν,

298 Καὶ πάλιν ἐν ἄλλοις ὁ θεός φησι·

Πάντη μὲν θεράποντας ἐμοὺς ὀλοῆς κακότητος.

καί φησιν ὑπὲρ τούτων δίκην ἐπιθήσειν αὐτοῖς. Πολλῶν δὲ εἰρημένων τοιούτων παρὰ τοῦ θεοῦ, δι' ὧν ἔνεστι μαθόντας ὅπως χρὴ τιμᾶν καὶ θεραπεύειν τοὺς ἱερέας, εἰρήσεταί μοι διὰ πλειόνων ἐν ἄλλοις· ἀπόχρη δὲ νῦν ὅτι μὴ σχεδιάζω μηδὲν ἐπιδεῖξαι, τήν τε ἐκ τοῦ θεοῦ πρόρρησιν καὶ
b τὸ ἐπίταγμα τῶν αὐτοῦ λόγων ἱκανὸν ἡγούμενος. Εἴ τις οὖν <οὐκ> ἀξιόπιστον ὑπείληφεν ἐμὲ διδάσκαλον τῶν τοιούτων, αἰδεσθεὶς τὸν θεόν, ἐκείνῳ πειθέσθω, καὶ τοὺς ἱερέας τῶν θεῶν τιμάτω διαφερόντως.

Ὁποῖον δὲ αὐτὸν εἶναι χρή, πειράσομαι νῦν εἰπεῖν, οὐχ ἕνεκα σοῦ (τοῦτο μὲν γὰρ εἰ μὴ τὸ νῦν ἠπιστάμην, ἅμα μὲν τοῦ καθηγεμόνος, ἅμα δὲ τῶν μεγίστων θεῶν μαρτυρούν-
c των, ὅτι τὴν λειτουργίαν ταύτην διαθήσῃ καλῶς, ὅσα γε εἰς προαίρεσιν ἥκει τὴν σήν, οὐδ' ἂν ἐτόλμησά σοι μεταδοῦναι τοσούτου πράγματος), ἀλλ' ὅπως ἔχῃς ἐντεῦθεν διδάσκειν τοὺς ἄλλους, οὐκ ἐν ταῖς πόλεσι μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἀγροῖς, εὐλογώτερον καὶ ἐπ' ἐξουσίας, ὡς οὐκ οἴκοθεν αὐτὰ νοεῖς καὶ πράττεις μόνος, ἔχεις δὲ καὶ ἐμὲ σύμψηφον
d σεαυτῷ, δοκοῦντά γε εἶναι διὰ τοὺς θεοὺς ἀρχιερέα μέγιστον, ἄξιον μὲν οὐδαμῶς πράγματος τοσούτου, βουλόμενον

9 sq. cf. Asmus *Zeitschr. für Kirchengesch.* XVI 1895 p. 221.

V

3 sq. cf. supra adn. ad p. 122, 11 sq. || 6 πάντη cod.: mendosus textus esse videtur: an <ῥῦσαι> πάντη? || 8 an μαθεῖν? || 13 <οὐκ> supplevimus || 21 ἐντεῦθεν Hertlein : ἐγγύθεν cod. ἔνθεν Horkel || 24 ἔχεις Reiske: ἔχειν cod. || 26 « post οὐδαμῶς videtur ὄντα deesse, ob insequens βουλόμενον δ' εἶναι; nam alias non desiderem » Reiske || πράγματος: an τάγματος?

δὲ εἶναι καὶ προσευχόμενον ἀεὶ τοῖς θεοῖς. Εὖ γὰρ ἴσθι,
μεγάλας ἡμῖν οἱ θεοὶ μετὰ τὴν τελευτὴν ἐλπίδας ἐπαγγέλ-
λονται. Πειστέον δὲ αὐτοῖς πάντως· ἀψευδεῖν γὰρ εἰώθασιν
οὐχ ὑπὲρ ἐκείνων μόνον, ἀλλὰ καὶ τῶν ἐν τῷ βίῳ τῷδε. Οἱ
δὲ διὰ περιουσίαν δυνάμεως οἷοί τε ὄντες [καὶ τῆς ἐν τῷ
βίῳ τούτῳ περιγενέσθαι ταραχῆς καὶ τὸ ἄτακτον αὐτοῦ 299
καὶ τὸ ἀλλόκοτον ἐπανορθοῦν ἆρ᾽ οὐκ ἐν ἐκείνῳ μᾶλλον,
ὅπου διῄρηται τὰ μαχόμενα, χωρισθείσης μὲν τῆς ἀθανά-
του ψυχῆς, γῆς δὲ γενομένου τοῦ νεκροῦ σώματος, ἱκανοὶ
παρασχεῖν ἔσονται ταῦθ᾽ ὅσαπερ ἐπηγγείλαντο τοῖς ἀνθρώ-
ποις; Εἰδότες οὖν ὅτι μεγάλας ἔχειν ἔδοσαν οἱ θεοὶ τοῖς
ἱερεῦσι τὰς ἀμοιβάς, ἐγγύους αὐτοὺς ἐν πᾶσι [τῆς ἀξίας b
τῶν θεῶν κατασκευάσωμεν, ὧν πρὸς τὰ πλήθη χρὴ λέγειν
δεῖγμα τὸν ἑαυτῶν ἐκφέροντας βίον.

Ἀρκτέον δὲ ἡμῖν τῆς πρὸς τοὺς θεοὺς εὐσεβείας. Οὕτω
γὰρ ἡμᾶς πρέπει τοῖς θεοῖς λειτουργεῖν, ὡς παρεστηκόσιν
αὐτοῖς καὶ ὁρῶσι μὲν ἡμᾶς, οὐχ ὁρωμένοις δὲ ὑφ᾽ ἡμῶν,
καὶ τὸ πάσης αὐγῆς ὄμμα κρεῖττον ἄχρι τῶν ἀποκρυπτο- c
μένων ἡμῖν λογισμῶν διατετακόσιν. Ὅτι δὲ οὐκ ἐμὸς ὁ λόγος
οὗτός ἐστιν, ἀλλὰ τοῦ θεοῦ, διὰ πολλῶν μὲν εἰρημένος
λόγων, ἐμοὶ δὲ δῆτα ἀπόχρη καὶ ἕνα παραθεμένῳ δύο δι᾽
ἑνὸς παραστῆσαι, πῶς μὲν ὁρῶσιν οἱ θεοὶ πάντα, πῶς δὲ
ἐπὶ τοῖς εὐσεβέσιν εὐφραίνονται.

Πάντη Φοιβείη τέταται τανυσισκόπος ἀκτίς·
καί τε διὰ στερεῶν χωρεῖ θοὸν ὄμμα πετράων, d
καὶ διὰ κυανέης ἁλὸς ἔρχεται, οὐδέ ἑ λήθει
πληθὺς ἀστερόεσσα παλινδίνητος ἰοῦσα

---

2 sq. cf. p. 124, 13 sq. || 19 sq. cf. Buresch *Klaros* p. 108 et 113, etc.

V [U]

5 καὶ τῆς ἐν U : ...... V || 6 περιγενέσθαι Cobet : γενέσθαι cod. ; ἐξελέσθαι « *eripere* » proponit Reiske || 7 ἐπανορθοῦν U : ...ορθοῦν V || 9 γῆς δὲ Reiske : τῆσδε cod. || 20 εἰρημένος : « εἴρηται aut εὐμαρὲς ἐπιδεῖξαι » Reiske || 27 πληθὺς ἀστερόεσσα Petau : πλήθουσα στερόεσσα cod. || ἰοῦσα Petau : ἐοῦσα cod.

οὐρανὸν εἰς ἀκάμαντα σοφῆς κατὰ θεσμὸν ἀνάγκης.
οὐδ᾽ ὅσα νερτερίων ὑπεδέξατο φῦλα καμόντων
300 Τάρταρος ἀχλυόεσσαν ὑπὸ ζόφον Ἀΐδος εἴσω·
εὐσεβέσιν δὲ βροτοῖς γάνυμαι τόσον, ὅσσον Ὀλύμπῳ.

Ὅσῳ δὲ λίθου καὶ πέτρας ἅπασα μὲν ψυχή, πολὺ δὲ πλέον ἡ τῶν ἀνθρώπων οἰκειότερον ἔχει καὶ συγγενέστερον πρὸς τοὺς θεούς, τοσούτῳ μᾶλλον εἰκός ἐστι ῥᾷον καὶ ἐνεργέστερον δι᾽ αὐτῆς χωρεῖν τῶν θεῶν τὸ ὄμμα. Θέα δὲ τὴν
b φιλανθρωπίαν τοῦ θεοῦ γάνυσθαι φάσκοντος τῇ τῶν εὐσεβῶν ἀνδρῶν διανοίᾳ, ὅσον Ὀλύμπῳ τῷ καθαρωτάτῳ. Πάντως ἡμῖν οὗτος οὐχὶ καὶ ἀνάξει τὰς ψυχὰς ἡμῶν ἀπὸ τοῦ ζόφου καὶ τοῦ Ταρτάρου μετ᾽ εὐσεβείας αὐτῷ προσιόντων; Οἶδε μὲν γὰρ καὶ τοὺς ἐν τῷ Ταρτάρῳ κατακεκλεισμένους (οὐδὲ γὰρ ἐκεῖνα τῆς τῶν θεῶν ἐκτὸς πίπτει δυνάμεως), ἐπαγγέλλεται
c δὲ τοῖς εὐσεβέσι τὸν Ὄλυμπον ἀντὶ τοῦ Ταρτάρου. Διόπερ χρὴ μάλιστα τῶν τῆς εὐσεβείας ἔργων ἀντέχεσθαι, προσιόντας μὲν τοῖς θεοῖς μετ᾽ εὐλαβείας, αἰσχρὸν δὲ μήτε λέγοντας μήτε ἀκούοντας.

Ἁγνεύειν δὲ χρὴ τοὺς ἱερέας οὐκ ἔργων μόνον ἀκαθάρτων οὐδὲ ἀσελγῶν πράξεων, ἀλλὰ καὶ ῥημάτων καὶ ἀκροαμάτων τοιούτων. Ἐξελατέα τοίνυν ἐστὶν ἡμῖν πάντα τὰ ἐπαχθῆ σκώμματα, πᾶσα δὲ ἀσελγὴς ὁμιλία. Καὶ ὅπως εἰδέναι ἔχῃς ὃ βούλομαι φράζειν, ἱερωμένος τις μήτε Ἀρχίλο-
d χον ἀναγινωσκέτω μήτε Ἱππώνακτα μήτε ἄλλον τινὰ τῶν τὰ τοιαῦτα γραφόντων. Ἀποκλινέτω καὶ τῆς παλαιᾶς κωμῳδίας ὅσα τῆς τοιαύτης ἰδέας· ἄμεινον μὲν γὰρ καὶ πάντα.

V [U]

3 ἀχλυόεντος? Hertlein; cf. v. 11 || 4 εὐσεβέσι cod. || γάννυμαι τόσσον cod., corr. Petau; cf. Hierocl. *In aur. carmen* p. 421ᵃ 10 Mullach || 8 θεῶ Reiske || 9 γάννυσθαι cod., corr. Petau || **10/11** Πάντως - οὐχὶ: « aut πῶς scribendum videtur aut οὐχὶ tollendum » Hertlein || **11** ἡμῖν: an ἤπιος? P. Thomas || οὗτος Reiske: οὕτως cod. || **17** δὲ: μηδὲν Reiske || **21** πάντα τὰ U: πάν.... V || **23** ἔχῃς ὃ βούλομαι U: ἐ.... β...... V || **24** μήτε¹: μὴ δὲ cod., corr. Hertlein || **26** μὲν γὰρ: an μέντοι? || **26** sq. πάντως πρέποι δ᾽ ἂν Petau; sicut cod. interpungimus

Πρέποι δ' ἂν ἡμῖν ἡ φιλοσοφία μόνη < > καὶ τούτων οἱ θεοὺς ἡγεμόνας προστησάμενοι τῆς ἑαυτῶν παιδείας, ὥσπερ Πυθαγόρας καὶ Πλάτων καὶ Ἀριστοτέλης οἵ τε ἀμφὶ Χρύσιππον καὶ Ζήνωνα. Προσεκτέον μὲν γὰρ οὔτε πᾶσιν οὔτε τοῖς πάντων δόγμασιν, ἀλλὰ ἐκείνοις μόνον, καὶ ἐκείνων ὅσα 301
εὐσεβείας ἐστὶ ποιητικά, καὶ διδάσκει περὶ θεῶν πρῶτον μὲν ὡς εἰσίν, εἶτα ὡς προνοοῦσι τῶν τῇδε, καὶ ὡς ἐργάζονται μὲν οὐδὲ ἓν κακὸν οὔτε ἀνθρώπους οὔτε ἀλλήλους, φθονοῦντες καὶ βασκαίνοντες καὶ πολεμοῦντες, ὁποῖα γράφοντες μὲν οἱ παρ' ἡμῖν ποιηταὶ κατεφρονήθησαν, οἱ δὲ τῶν Ἰουδαίων προφῆται διατεταμένως συγκατασκευάζοντες ὑπὸ τῶν ἀθλίων τούτων τῶν προσνειμάντων ἑαυτοὺς τοῖς Γαλι- b
λαίοις θαυμάζονται.

Πρέποι δ' ἂν ἡμῖν ἱστορίαις ἐντυγχάνειν, ὁπόσαι συνεγράφησαν ἐπὶ πεποιημένοις τοῖς ἔργοις· ὅσα δέ ἐστιν ἐν ἱστορίας εἴδει παρὰ τοῖς ἔμπροσθεν ἀπηγγελμένα πλάσματα παραιτητέον, ἐρωτικὰς ὑποθέσεις καὶ πάντα ἁπλῶς τὰ τοιαῦτα. Καθάπερ γὰρ οὐδὲ ὁδὸς πᾶσα τοῖς ἱερωμένοις ἁρμόττει, τετάχθαι δὲ χρὴ καὶ ταύτας, οὕτως οὐδὲ ἀνά- c
γνωσμα πᾶν ἱερωμένῳ πρέπει· ἐγγίνεται γάρ τις τῇ ψυχῇ διάθεσις ὑπὸ τῶν λόγων, καὶ κατ' ὀλίγον ἐγείρει τὰς ἐπιθυμίας, εἶτα ἐξαίφνης ἀνάπτει δεινὴν φλόγα, πρὸς ἥν, οἶμαι, χρὴ πόρρωθεν παρατετάχθαι. Μήτε Ἐπικούρειος εἰσίτω λόγος μήτε Πυρρώνειος· ἤδη μὲν γὰρ καλῶς ποιοῦντες οἱ θεοὶ καὶ ἀνῃρήκασιν, ὥστε ἐπιλείπειν καὶ τὰ πλεῖστα τῶν βιβλίων· ὅμως οὐθὲν κωλύει τύπου χάριν ἐπιμνησθῆναι μὲν d

1 sq. cf. p. 72, 7.

V [U]

1/2 οἱ — προστησάμενοι Horkel : ἡ — προστησαμένη cod. ; lacunam significavimus | **2** ὥσπερ Hertlein : ὅπερ cod. || **8** οὔτε — οὔτε Cobet : οὐδὲ — οὐδὲ cod. || ἀλλήλους Cobet : ἄλλους cod. | **11** διατεταγμένως cod., corr. Reiske | **16** ἱστορίαις ἤδη cod., corr. Petau **23** εἰσιέτω cod., corr. Cobet | **25** καὶ < αὐτοὺς > ἀνῃρήκασι Reiske **26** οὐδὲν Hertlein

καὶ τούτων, ὁποίων χρὴ μάλιστα τοὺς ἱερέας ἀπέχεσθαι λόγων, εἰ δὲ λόγων, πολὺ πρότερον ἐννοιῶν· οὐδὲ γάρ, οἶμαι, ταὐτόν ἐστιν ἁμάρτημα γλώττης καὶ διανοίας, ἀλλ' ἐκείνην χρὴ μάλιστα θεραπεύειν, ὡς καὶ τῆς γλώττης ἐκείνῃ συνεξαμαρτανούσης.

Ἐκμανθάνειν χρὴ τοὺς ὕμνους τῶν θεῶν· εἰσὶ δὲ οὗτοι πολλοὶ μὲν καὶ καλοὶ πεποιημένοι παλαιοῖς καὶ νέοις· οὐ
302 μὴν ἀλλ' ἐκείνους πειρατέον ἐπίστασθαι τοὺς ἐν τοῖς ἱεροῖς ᾀδομένους· οἱ πλεῖστοι γὰρ ὑπ' αὐτῶν τῶν θεῶν ἱκετευθέντων ἐδόθησαν, ὀλίγοι δέ τινες ἐποιήθησαν καὶ παρὰ ἀνθρώπων, ὑπὸ πνεύματος ἐνθέου καὶ ψυχῆς ἀβάτου τοῖς κακοῖς ἐπὶ τῇ τῶν θεῶν τιμῇ συγκείμενοι.

Ταῦτά γε ἄξιον ἐπιτηδεύειν, καὶ εὔχεσθαι πολλάκις τοῖς θεοῖς ἰδίᾳ καὶ δημοσίᾳ, μάλιστα μὲν τρὶς τῆς ἡμέρας, εἰ
b δὲ μή, πάντως ὄρθρου τε καὶ δείλης· οὐδὲ γὰρ εὔλογον ἄθυτον ἄγειν ἡμέραν ἢ νύκτα τὸν ἱερωμένον· ἀρχὴ δὲ ὄρθρος μὲν ἡμέρας, ὀψία δὲ νυκτός. Εὔλογον δὲ ἀμφοτέρων τοῖς θεοῖς ἀπάρχεσθαι τῶν διαστημάτων, ὅταν ἔξωθεν τῆς ἱερατικῆς ὄντες τυγχάνωμεν λειτουργίας· ὥς τά γε ἐν τοῖς ἱεροῖς, ὅσα πάτριος διαγορεύει νόμος φυλάττειν πρέπει, καὶ οὔτε πλέον οὔτε ἔλαττόν τι ποιητέον αὐτῶν. Ἀΐδια γάρ ἐστι τὰ τῶν θεῶν· ὥστε καὶ ἡμᾶς χρὴ μιμεῖσθαι τὴν
c οὐσίαν αὐτῶν, ἵν' αὐτοὺς ἱλασκώμεθα διὰ τοῦτο πλέον.

Εἰ μὲν οὖν ἦμεν αὐτοψυχαὶ μόναι, τὸ σῶμα δὲ πρὸς μηδὲν ἡμῖν διώχλει, καλῶς εἶχεν ἕνα τινὰ τοῖς ἱερεῦσιν ἀφορίζειν βίον· ἐπεὶ δὲ οὐχ ἱερεῦσιν ἁπλῶς, ἀλλὰ καὶ *** ὡς ἱερεῖ προσήκει μόνον ὃ δὴ κατὰ τὸν καιρὸν τῆς λειτουργίας ἐπιτηδευτέον, τί δὲ ὡς ἱερατεύειν ἀνθρώπῳ λαχόντι συγχωρητέον, ὅταν ἐκτὸς ᾖ τῆς ἐν τοῖς ἱεροῖς λειτουργίας.

V

1 τούτων <δεικνύντα> vel <διδάσκοντα> Reiske ‖ 9 ὑφ' αὐτῶν cod., corr. Reiske ‖ 15 τε: γε? Hertlein ‖ 21 αὐτῶν Reiske : αὐτὸν cod. ‖ 22 τὰ Cobet : ταῦτα cod. ‖ 25 καλῶς < ἂν > Hertlein ‖ 26 lacunam significavimus ; καὶ <ἀνθρώποις>, ὡς ? P. Thomas

Οἶμαι δὲ χρῆναι τὸν ἱερέα πάντων ἁγνεύσαντα νύκτωρ d
καὶ ἡμέραν, εἶτα ἄλλην ἐπ᾽ αὐτῇ νύκτα καθηράμενον οἷς διαγορεύουσιν οἱ θεσμοὶ καθαρμοῖς, οὕτως εἴσω φοιτῶντα τοῦ ἱεροῦ μένειν ὅσας ἂν ἡμέρας ὁ νόμος κελεύῃ· τριάκοντα μὲν γὰρ ὡς παρ᾽ ἡμῖν εἰσιν ἐν Ῥώμῃ, παρ᾽ ἄλλοις δὲ ἄλλως. Εὔλογον οὖν οἶμαι μένειν ἁπάσας ταύτας τὰς ἡμέρας ἐν τοῖς ἱεροῖς φιλοσοφοῦντα, καὶ μήτε εἰς οἰκίαν βαδίζειν
μήτε εἰς ἀγοράν, ἀλλὰ μηδὲ ἄρχοντα πλὴν ἐν τοῖς ἱεροῖς 303
ὁρᾶν, ἐπιμελεῖσθαι δὲ τῆς περὶ τὸ θεῖον θεραπείας αὐτὸν ἐφορῶντα πάντα καὶ διατάττοντα, πληρώσαντα δὲ τὰς ἡμέρας, εἶτα ἑτέρῳ παραχωρεῖν τῆς λειτουργίας. Ἐπὶ δὲ τὸν ἀνθρώπινον τρεπομένῳ βίον ἐξέστω καὶ βαδίζειν εἰς οἰκίαν φίλου καὶ εἰς ἑστίασιν ἀπαντᾶν παρακληθέντα, μὴ πάντων, ἀλλὰ τῶν βελτίστων· ἐν τούτῳ δὲ καὶ εἰς ἀγορὰν παρελθεῖν
οὐκ ἄτοπον ὀλιγάκις, ἡγεμόνα τε προσειπεῖν καὶ ἔθνους b
ἄρχοντα, καὶ τοῖς εὐλόγως δεομένοις ὅσα ἐνδέχεται βοηθῆσαι.

Πρέπει δέ, οἶμαι, τοῖς ἱερεῦσιν ἔνδον μέν, ὅτε λειτουργοῦσιν, ἐσθῆτι χρῆσθαι μεγαλοπρεπεστάτῃ, τῶν ἱερῶν δὲ ἔξω τῇ συνήθει δίχα πολυτελείας· οὐδὲ γὰρ εὔλογον τοῖς δεδομένοις ἡμῖν ἐπὶ τιμῇ θεῶν εἰς κενοδοξίαν καταχρῆσθαι καὶ τῦφον μάταιον. Ὅθεν ἀφεκτέον ἡμῖν ἐσθῆτος πολυτε-
λεστέρας ἐν ἀγορᾷ καὶ κόμπου ἢ καὶ πάσης ἁπλῶς ἀλαζο- c
νείας. Οἱ γοῦν θεοὶ τὴν τοσαύτην ἀγασθέντες Ἀμφιαράου σωφροσύνην, ἐπειδὴ τοῦ στρατεύματος ἐκείνου κατεδίκασαν φθοράν, εἰδώς τε αὐτὸς συνεστρατεύετο καὶ ἦν ἄφευκτον αὐτῷ διὰ τοῦτο τὸ πεπρωμένον, ἀπέφηναν αὐτὸν ἄλλον ἐξ

---

8 sq. et 15 sq. cf. p. 115, 10 sq.

V [U]

1 νύκτα Hertlein ‖ 5 ὡς scripsimus : ἢ sic, ut vid., cod. αἱ Hertlein, qui ᾱ in cod. vidit ‖ 9 ὁρᾶν Hertlein : ἐφορᾶν cod.; cf. p. 115, 10 ‖ 11 παραχωροῦντα cod., corr. Hertlein ‖ 18 πρέποι cod., corr. Cobet ‖ οἶμαι U : οἱ... V ‖ 23 [ἢ] Cobet

ἄλλου καὶ μετέστησαν εἰς λῆξιν θείαν. Πάντων γοῦν τῶν ἐπιστρατευσάντων ταῖς Θήβαις ἐπὶ τῶν ἀσπίδων πρὶν κατεργάσασθαι σήματα γραφόντων καὶ ἐγειρόντων τὰ τρόπαια [καὶ] τῆς συμφορᾶς τῶν Καδμείων, ὁ τῶν θεῶν ὁμιλητὴς ἄσημα μὲν ἐπεστράτευεν ἔχων ὅπλα, πραότητα δὲ καὶ σωφροσύνην ὑπὸ τῶν πολεμίων ἐμαρτυρεῖτο. Διόπερ, οἶμαι, χρὴ καὶ τοὺς ἱερέας … ἵνα τυγχάνωμεν εὐμενῶν τῶν θεῶν· ὡς οὐ μικρά γε εἰς αὐτοὺς ἐξαμαρτάνομεν δημούμενοι τὰς
304 ἱερὰς ἐσθῆτας καὶ δημοσιεύοντες καὶ παρέχοντες ἁπλῶς περιβλέπειν τοῖς ἀνθρώποις ὥσπερ τι θαυμαστόν. εἴπερ, <ὡς> ἐκ τούτου συμβαίνει, πολλοὶ πελάζουσιν ἡμῖν οὐ καθαροί, καὶ διὰ τοῦτο χραίνεται τὰ τῶν θεῶν σύμβολα. Τὸ δὲ καὶ ἡμᾶς αὐτοὺς οὐχ ἱερατικῶς ζῶντας ἱερέων ἐσθῆτα περικεῖσθαι πόσης ἐστὶ παρανομίας καὶ καταφρονήσεως εἰς τοὺς θεούς; Εἰρήσεται μὲν οὖν ἡμῖν καὶ περὶ τούτων δι᾽
b ἀκριβείας· νυνὶ δὲ ὡς τύπῳ πρός σε γράφω περὶ αὐτῶν.

Τοῖς ἀσελγέσι τούτοις θεάτροις τῶν ἱερέων μηδεὶς μηδαμοῦ παραβαλλέτω … μηδὲ εἰς τὴν οἰκίαν εἰσαγέτω τὴν ἑαυτοῦ· πρέπει γὰρ οὐδαμῶς. Καὶ εἰ μὲν οἷόν τε ἦν ἐξελάσαι παντάπασιν αὐτὰ τῶν θεάτρων, ὥστε αὐτὰ πάλιν ἀποδοῦναι τῷ Διονύσῳ καθαρὰ γενόμενα, πάντως ἂν ἐπειράθην αὐτὸ προθύμως κατασκευάσαι· νυνὶ δὲ οἰόμενος τοῦτο οὔτε

---

1 sq. cf. Aeschyl. *Sept.* 382 sq. 5 cf. Euripid. *Phoeniss.* 1111 sq. 16 νυνὶ — γράφω Suidas *s. v.* Νυνί 22 οἰόμενος — p. 145, 2 γενέσθαι *ibid. s. v.* Ἄλλως.

V

3 σήματα Cobet : σύμπαντα cod. σύμβολα vel σημεῖα Wyttenbach | 4 [καὶ] τῆς συμφορᾶς scripsimus : καὶ τὰς συμφορὰς cod. κατὰ τῆς συμφορᾶς Hertlein | 7 lacunam significavit Hertlein ; χρὴ καὶ τοὺς ἱερέας < ἡμᾶς τὰ περὶ τὰς ἐσθῆτας σωφρονεῖν > Cobet || 8 « f. δηλούμενοι a δηλεῖσθαι » Reiske | 11 < ὡς > supplevimus ; < ὡς εἰκός > ἐκ — συμβαίνειν ? P. Thomas | 14 πόσης Cobet : πάσης cod. ; cf. adn. 213 D | 15/16 < ἐν ἄλλοις > δι᾽ ἀκριβείας Reiske | 17 Τοῖς < δ᾽ > ἀσελγέσι Cobet || 18 lacunam significavimus | μηδὲ Hertlein : μήτε cod. | 20 an ὥστε ταῦτα ? || 22 αὐτὸ Hertlein : αὐτῷ cod. || οὔτε : οὐ Suidas

δυνατὸν οὔτε ἄλλως, εἰ καὶ δυνατὸν φανείη, συμφέρον ἂν c γενέσθαι, ταύτης μὲν ἀπεσχόμην παντάπασι τῆς φιλοτιμίας· ἀξιῶ δὲ τοὺς ἱερέας ὑποχωρῆσαι καὶ ἀποστῆναι τῷ δήμῳ τῆς ἐν τοῖς θεάτροις ἀσελγείας. Μηδεὶς οὖν ἱερεὺς εἰς θέατρον ἐξίτω, μηδὲ ποιείσθω φίλον θυμελικὸν μηδὲ ἁρματηλάτην, μηδὲ ὀρχηστὴς μηδὲ μῖμος αὐτοῦ τῇ θύρᾳ προσίτω. Τοῖς ἱεροῖς ἀγῶσιν ἐπιτρέπω μόνον τῷ βουλομένῳ παραβάλλειν, ὧν ἀπηγόρευται μετέχειν οὐκ ἀγωνίας μόνον, d ἀλλὰ καὶ θέας ταῖς γυναιξίν. Ὑπὲρ δὲ τῶν κυνηγεσίων τί δεῖ καὶ λέγειν, ὅσα ταῖς πόλεσιν εἴσω τῶν θεάτρων συντελεῖται, ὡς ἀφεκτέον τούτων ἐστὶν οὐχ ἱερεῦσι μόνον, ἀλλὰ καὶ παισὶν ἱερέων;

Ἦν μὲν οὖν ἴσως πρὸ τούτων εἰρῆσθαι καλὸν ὅθεν καὶ ὅπως χρὴ τοὺς ἱερέας ἀποδεικνύειν· οὐδὲν δὲ ἄτοπον εἰς τοῦτό μοι τοὺς λόγους λῆξαι. Ἐγώ φημι τοὺς ἐν ταῖς πόλεσι βελτίστους καὶ μάλιστα μὲν φιλοθεωτάτους, ἔπειτα 305 φιλανθρωποτάτους, ἐάν τε πένητες ὦσιν, ἐάν τε πλούσιοι· διάκρισις ἔστω πρὸς τοῦτο μηδ᾽ ἡτισοῦν ἀφανοῦς καὶ ἐπιφανοῦς· ὁ γὰρ διὰ πραότητα λεληθὼς οὐ διὰ τὴν τοῦ ἀξιώματος ἀφάνειαν δίκαιός ἐστι κωλύεσθαι. Κἂν πένης οὖν ᾖ τις, κἂν δημότης, ἔχων ἐν ἑαυτῷ δύο ταῦτα, τό τε φιλόθεον καὶ τὸ φιλάνθρωπον, ἱερεὺς ἀποδεικνύσθω. Δεῖγμα δὲ τοῦ φιλοθέου μέν, εἰ τοὺς οἰκείους ἅπαντας εἰς τὴν περὶ b τοὺς θεοὺς εὐσέβειαν εἰσαγάγοι, τοῦ φιλανθρώπου δέ, εἰ καὶ ἐξ ὀλίγων εὐκόλως κοινωνεῖ τοῖς δεομένοις καὶ μετα-

---

19 sq. cf. Thucyd. II 37, 1.

V [U]

1 οὔτε Petau : εἴτε cod. et Suidas || εἰ : εἴτε Suidas || ἂν scripsimus : αὐτὸ cod. αὐτῷ Suidas <ἂν> αὐτὸ Hertlein || **5** ἐξίτω Petau : ἐξείτω U ...ίτω V εἰσίτω Cobet || ποιείσθω Reiske : ...... VU || **6** ὀρχηστὴς U : ὀρχη... V || μῖμος αὐτοῦ Cobet : μῖμος αὐτῶν Spanheim .... VU || **10** an [καὶ] ? || **18** μηδέ τις οὖν cod., corr. Cobet

δίδωσι προθύμως, εὖ ποιεῖν ἐπιχειρῶν ὅσους ἂν οἷός τε ᾖ· προσεκτέον γὰρ μάλιστα τῷ μέρει τούτῳ, καὶ τὴν ἰατρείαν ἔνθεν ποιητέον. Ἐπειδὴ γάρ, οἶμαι, συνέβη τοὺς πένητας ἀμελεῖσθαι παρορωμένους ὑπὸ τῶν ἱερέων, οἱ δυσσεβεῖς
c Γαλιλαῖοι κατανοήσαντες ἐπέθεντο ταύτῃ τῇ φιλανθρωπίᾳ, καὶ τὸ χείριστον τῶν ἔργων διὰ τοῦ δοκοῦντος τῶν ἐπιτηδευμάτων ἐκράτυναν. Ὥσπερ οἱ τὰ παιδία <διά> του πλακοῦντος ἐξαπατῶντες, τῷ καὶ δὶς καὶ τρὶς προέσθαι πείθουσιν ἀκολουθεῖν ἑαυτοῖς, εἶθ', ὅταν ἀποστήσωσι πόρρω τῶν οἰκιῶν, ἐμβάλλοντες εἰς ναῦν ἀπέδοντο, καὶ γέγονεν εἰς ἅπαντα τὸν ἑξῆς βίον πικρὸν τὸ δόξαν πρὸς ὀλίγον
d γλυκύ, τὸν αὐτὸν καὶ αὐτοὶ τρόπον ἀρξάμενοι, διὰ τῆς λεγομένης παρ' αὐτοῖς ἀγάπης καὶ ὑποδοχῆς καὶ διακονίας τραπεζῶν (ἔστι γὰρ ὥσπερ τὸ ἔργον, οὕτω δὲ καὶ ὄνομα παρ' αὐτοῖς πολὺ) πλείστους ἐνήγαγον εἰς τὴν ἀθεότητα καὶ πεποιήκασι.....

---

90 [ep. 79].

Ad Photinum.

Haec epistula paulo ante libros contra Galilaeos scripta est (cf. Neumann, p. 5 sq.), ineunte anno 363, ut videtur. Certe missa est post adventum Iuliani Antiochiam (m. Iulio 362), nam in hac urbe eodem tempore Diodorus Tarsensis, quem de facie imperatori notum esse ex p. 148, 5 sq. apparet, ecclesiam catholicam adversus Arianos defendebat.

---

3 sq. cf. p. 113, 10 sq.

V

1 ᾖ Reiske: ἦν cod. || 3 ἔνθεν Wyttenbach: ὅθεν cod. ἐντεῦθεν Hertlein || 6 διὰ τοῦ δοκοῦντος: διὰ τοῦ <καλλίστου> δοκοῦντος Reiske διὰ τοῦ εὐδοκιμοῦντος (vel aliquid simile) Cobet || 7 Ὥσπερ <γὰρ>? Hertlein || <διά> του P. Thomas: τοῦ cod. || 10 τῶν οἰκείων Cobet || 14 ὄνομα cod.: τοὔνομα Hertlein || 15 πλείστους Reiske: πιστοὺς cod. || 16 verba καὶ πεποίηκασι epistulae ad Themistium attribuunt Petau et edd., male: cf. supra p. 127, 10 sq.

« Hoc fragmentum, cuius notitiam Mauricio Hauptio debeo, suscepi ex Facundo Hermian. [*Pro def. III capit.*], IV, 2, t. II, p. 522 Sirmond » (Hercher). Editio Sirmondii, quam paucis mutatis Migne (PL 67, 621) repetiit, nititur codice Parisino 2184, s. XVII, qui ipse ex codice Veronensi bibl. capit. LIII, 51, s. VIII, descriptus est. — Veronensem (f. 83) contulimus.

Iulianus enim Christo perfidus imperator sic Photino haeresiarchae adversus Diodorum scribit:

Tu quidem, o Photine, verisimilis videris et proximus salvari, bene faciens nequaquam in utero inducere quem credidisti deum. Diodorus autem, Nazaraei magus, eius pigmentalibus manganis acuens inrationabilitatem, acutus apparuit sophista religionis agrestis.

Et post paululum :

Quem, si nobis opitulati fuerint dii et deae et Musae omnes et Fortuna, ostendemus infirmum et corruptorem legum et rationum et mysteriorum paganorum et deorum infernorum et illum novum eius deum Galilaeum, quem aeternum fabulose praedicat, indigna morte et sepultura denudatum confictae a Diodoro deitatis.

Sicut autem solent errantes convicti fingere quod arte magis quam veritate vincantur, sequitur dicens :

Iste enim malo communis utilitatis Athenas navigans et philosophans inprudenter musicarum participatus est rationum et rhetoricis confectionibus odibilem armavit linguam adversus caelestes deos, usque adeo ignorans paganorum mysteria omnemque miserabiliter imbibens, ut aiunt, degenerum

---

10 *in marg.* : ex litteris iuliani apostatae *cod.* **10 11** salvare *cod., corr. Neumann* || **13** manganes *cod., corr. Neumann* || **16** quem si *cod.* : quod si *Sirmond* || **16/17** *an* deae omnes et Musae et ? cf. p. 32, 6 et 105, 15 || **17** ostendimus *cod., corr. Paris.* 2184 || **25** *an* impudenter mysticarum ? || **25/26** rationem *cod., correximus* || **27** caelestis *cod.* || **28** sq. degenerum et : *an* degenerem ?

et inperitorum eius theologorum piscatorum errorem. Propter quod iam diu est quod ab ipsis punitur diis. Iam enim per multos annos in periculum conversus et in corruptionem thoracis incidens, ad summum pervenit supplicium. Omne eius corpus consumptum est. Nam malae eius conciderunt, rugae vero in altitudinem corporis descenderunt. Quod non est philosophicae conversationis indicio, sicut videri vult ab se deceptis, sed iustitiae pro certo deorumque poenae. qua percutitur competenti ratione, usque ad novissimum vitae suae finem asperam et amaram vitam vivens et faciem pallore confectam.

91

Ad Nisibenos.

Haec epistula Antiochiae scripta fuisse videtur, cum iam bellum adversus Persas Iulianus pararet (cf. v. 21 sq. : τῆς... πόλεως μὴ ἐπιβήσεσθαι).

Sozomen., V, 3, 5 : Ἀμέλει τοι προσδοκωμένων τότε Περσῶν ἐπιστρατεύειν, πρεσβευομένοις περὶ τούτου Νισιβηνοῖς, ὡς παντελῶς χριστιανίζουσι καὶ μήτε τοὺς ναοὺς ἀνοίγουσι μήτε εἰς τὰ ἱερὰ φοιτῶσιν, ἠπείλησε (scil. ὁ Ἰουλιανὸς) μὴ βοηθεῖν μήτε πρεσβείαν δέχεσθαι, καὶ ὡς ἐναγοῦς τῆς αὐτῶν πόλεως μὴ ἐπιβήσεσθαι πρότερον, εἰ μὴ πύθοιτο εἰς Ἑλληνισμὸν μεταβαλόντας.

Ephraem. Syr., *Sermo II c. Iulian.*, ed. Overbeck (*Ephraemi op. selecta*, Oxonii, 1865), p. 9, 24, nobis a M. A. Kugener latine transl. (cf. Bickell, *Zeitschr. für Kathol. Theol.*, II, 1878, p. 343): Etenim hariolatus erat (*scil.* Iulianus), promiserat, scripserat nuntiaveratque nobis se expeditionem facturum esse et sibi (nationes) subacturum, Persidem opprobriis se affecturum, Singaram (autem denuo) aedificaturum. Minae litterarum eius (hunc exitum habuerunt): Nisibis capta est in expeditione. — Cf. Bickell, *l. l.*, p. 345, adn. 3.

---

1 inperitorum *ex* inperatorum *corr. in ras. cod.* || 5 consumtum *cod.* || 10 *an* faciem < habens > ?

Ad eandem fortasse epistulam referenda sunt etiam sequentia :

Ephraem. Syr., *l. l.*, p. 9, 1 ed. Overbeck (Bickell, *l. l.*, p. 342) : Triticis (Christianis) ille (*scil.* Iulianus) minatus erat in expeditione se venturum esse ad ea operienda vepribus paganismi sui.

Ibid., p. 14, 20 ed. Overbeck (Bickell, *l. l.*, p. 349) : Et vehementer ingemuit (*scil.* Iulianus) propterea quod recordatus est quid scripsisset declaravissetque se ecclesiis facturum esse.

Cf. Gregor. Nazianz., *Orat.* V, 9 et 25 (ποῦ αἱ κατὰ Χριστιανῶν μαντεῖαι καὶ ἀπειλαὶ καὶ ἡ κατὰ προθεσμίαν κατάλυσις ἡμῶν μέχρις ὀνόματος ;) ; Rufin., *Hist. eccl.*, X, 37 ; Philostorg., VII, 15ᵃ, p. 101, 20 sq. ed. Bidez ; Sozomen., VI, 2, 9 ; Theodoret., *Hist. eccl.*, III, 21, 4 ; Iohann. Chrysostom., *De S. Babyla c. Iulian.*, 22.

92

Ad regem Persarum.

Liban., *Orat.* XVIII, 164 : Ἧκεν αὐτῷ (scil. τῷ Ἰουλιανῷ) γράμματα Περσικὰ δέξασθαι δεόμενα πρεσβείαν καὶ λόγῳ τὰ διάφορα τεμεῖν. Οἱ μὲν οὖν ἄλλοι πάντες ἐπηδῶμεν, ἐκροτοῦμεν, ἐβοῶμεν δέχεσθαι, ὁ δὲ ῥῖψαι κελεύσας ἀτίμως τὴν ἐπιστολήν, πάντων ἔφη δεινότατον εἶναι κεῖσθαι μὲν τὰς πόλεις, αὐτοὺς δὲ διαλέγεσθαι, καὶ ἀντεπέστειλέ γε μηδὲν δεῖν πρέσβεων, αὐτοῦ τάχιστα αὐτὸν ὀψομένου.

Cf. *ibid.*, XVII, 19 : Ἔδει τότε, ὦ φίλτατε (scil. Ἰουλιανέ), μὴ ἀπώσασθαι τὴν Περσικὴν πρεσβείαν σπονδάς τε αἰτοῦσαν καὶ στέρξουσαν οἷς γνοίης.

93

Ad Arsacem Armeniae regem.

Ammian. Marc., XXIII, 2, 2 : Solum Arsacem monuerat (*scil.* Iulianus) Armeniae regem, ut collectis copiis validis iubenda operiretur, quo tenderet, quid deberet urguere propere cogniturus.

Cf. Liban., *Orat.* XVIII, 215 : Χρῆν δὲ ἄρα καὶ τὸν Ἀρμένιον παραπλήσιόν τι ποιεῖν· διὰ γὰρ τῆς ἐκείνου γῆς τῆς ἀρίστης ἐλθόντων μετὰ πυρός, ὥσπερ εἰκός, τῶν ἐχθρῶν συμ-

μῖξαι τῷ βασιλεῖ, καὶ γενομένους ἀθρόους ἢ ἐκβαλεῖν τῶν ὅρων τοὺς ἐναντίους φεύγοντας ἢ καταπατῆσαι μένοντας. Τούτων δὲ παρηγγελμένων, αὐτὸς (scil. ὁ Ἰουλιανὸς) ἐχόμενος Εὐφράτου πιεῖν τε παρέχοντος καὶ παραπέμποντος τὴν ἐν τοῖς πλοίοις τροφὴν ἐχώρει (cf. p. 159, 18 sq.).

Sozomen. (qui iam subditivam epistulam excerpsisse videtur), VI, 1, 2 : Ἀρσακίῳ δὲ τῷ Ἀρμενίων ἡγουμένῳ συμμαχοῦντι Ῥωμαίοις ἔγραψε (scil. ὁ Ἰουλιανὸς) συμμῖξαι περὶ τὴν πολεμίαν. 3. Ἀπαυθαδιασάμενός τε πέρα τοῦ μέτρου ἐν τῇ ἐπιστολῇ, καὶ ἑαυτὸν μὲν ἐξάρας ὡς ἐπιτήδειον πρὸς ἡγεμονίαν καὶ φίλον οἷς ἐνόμιζε θεοῖς, Κωνσταντίῳ δέ, ὃν διεδέξατο, ὡς ἀνάνδρῳ καὶ ἀσεβεῖ λοιδορησάμενος, ὑβριστικῶς μάλα ἠπείλησεν αὐτῷ· καὶ ἐπεὶ Χριστιανὸν ὄντα ἐπυνθάνετο, ἐπιτείνων τὴν ὕβριν, ἢ βλασφημεῖν ἃ μὴ θέμις σπουδάζων εἰς τὸν Χριστόν (τοῦτο γὰρ εἰώθει παρ᾽ἕκαστα τολμᾶν), ἀπεκόμπασεν ὑποδηλῶν ὡς οὐκ ἐπαμυνεῖ ὃν ἡγεῖται θεὸν ὀλιγωροῦντι τῶν προστεταγμένων. — Vide infra p. 277 sq. textum spuriae ad Arsacem epistulae.

94

Ad ignotum.

Eunap., *Fragm.* 22, 1 (*Excerpta de sententiis*, p. 80 ed. Boissevain) : Ὅτι τῷ Ἰουλιανῷ ἤκμαζεν ὁ πρὸς Πέρσας πόλεμος, τάς τε Σκυθικὰς κινήσεις ὥσπερ ἐν κωφῷ κρυπτομένας ἔτι κύματι συνετίθει πόρρωθεν ἢ θεοκλυτῶν ἢ λογιζόμενος. Λέγει οὖν ἐπιστέλλων·

« Σκύθαι δὲ νῦν μὲν ἀτρεμοῦσιν, ἴσως δὲ οὐκ ἀτρεμήσουσιν. »

Ἐς τοσόνδε ἐξικνεῖτο χρόνον ἡ τῶν μελλόντων αὐτῷ πρόνοια, ὥσθ᾽ ὅτι τὸν ἐπ᾽ αὐτοῦ μόνον καιρὸν ἡσυχάσουσι προγινώσκειν.

Cf. Liban., *Orat.* XII, 78.

95-98

Ad Libanium.

95

Liban., *Orat.* I, 122 : Ἧκε δέ ποτε (scil. ὁ Ἰουλιανὸς) εἰς Διὸς φιλίου θύσων, καὶ τοὺς ἄλλους κατιδὼν (ἐβούλοντο

γὰρ καὶ πᾶν ἐποίουν ὅπως ὀφθήσονται), μόνον οὐ τεθεαμένος ἐμὲ τοῖς πολλοῖς ἐμμεμιγμένον, δείλης διὰ δέλτου τινὸς ἠρώτα τε ὅ τι εἴη τὸ κεκωλυκός, καὶ μετὰ χαρίτων καθήπτετο· ἃ μὲν δὴ ἀπεκρινάμην διὰ τῆς αὐτῆς δέλτου καὶ ὡς οὐκ ἐδήχθην μᾶλλον ἢ τοῦτο ἐποίησα καὶ αὐτὸς σὺν χάρισιν, οἶδεν ἀναγνούς τε ἐκεῖνος καὶ ἐρυθριάσας.

96 [ep. 3].

Libanii orationem XIV pro Aristophane, de qua his litteris agitur, a. 362 (« sub finem » Förster, *Libanii opera*, II, p. 83) Iuliano Antiochiae degenti missam esse consentaneum est. De hac serie epistularum vide quae disseruimus, *Recherches*, p. 11 et 78 sq. ; cf. etiam Seeck, BLZG, p. 33 et 394.

Ἰουλιανὸς Λιβανίῳ σοφιστῇ καὶ κοιαίστωρι. 374 b

Ἐπειδὴ τῆς ὑποσχέσεως ἐπελάθου (τρίτη γοῦν ἐστι σήμερον, καὶ ὁ φιλόσοφος Πρίσκος αὐτὸς μὲν οὐχ ἧκεν, c
γράμματα δὲ ἀπέστειλεν ὡς ἔτι χρονίζων), ὑπομιμνήσκω σε τὸ χρέος ἀπαιτῶν· ὄφλημα δέ ἐστιν, ὡς οἶσθα, σοὶ μὲν ἀποδοῦναι ῥᾴδιον, ἐμοὶ δὲ ἥδιστον πάνυ κομίσασθαι. Πέμπε δὴ τὸν λόγον καὶ τὴν ἱερὰν συμβουλήν, ἀλλὰ πρὸς Ἑρμοῦ καὶ Μουσῶν ταχέως, ἐπεὶ καὶ τούτων με τῶν τριῶν ἡμερῶν ἴσθι συντρίψας, εἴπερ ἀληθῆ φησιν ὁ Σικελιώτης ποιητής, ἐν ἤματι φάσκων τοὺς ποθοῦντας γηράσκειν· εἰ δὴ d
ταῦτά ἐστιν ἀληθῆ, ὥσπερ οὖν ἔστι, τὸ γῆρας ἡμῖν ἐτριπλασίασας, ὦ γενναῖε.

---

19 τὸν λόγον *scil.* Liban. *Orat.* XIV || 21 sq. Theocrit. *Idyll.* XII 2 || 23 cf. Plat. *Phaedr.* 242 E.

ALM = c BNO = b Q C X

13 λιβανίῳ σοφιστῇ καὶ κοιαίστωρι (cf. p. 155, 33) X αὐτοκράτωρ ἰουλιανὸς λιβανίῳ A ἰουλιανὸς λιβανίῳ MQ λιβανίῳ b om. LC || 16 χρονιῶν Cobet || 17 ὀφείλημα c | σοὶ : σὺ X || 18 ἥδιον LMX ἴδιον (sic) A | πάνυ : πάντων cCX || 19 δὴ : δὲ C || 22 δὴ : δὲ bQ || 23 ἀληθῶς B om. NOQ | ὥσπερ οὖν ἔστι om. c || ἔστι : ἐστὶν ἀληθῆ X

Ταῦτα μεταξὺ τοῦ πράττειν ὑπηγόρευσά σοι· γράφειν γὰρ οὐχ οἷός τε ἦν, ἀργοτέραν ἔχων τῆς γλώττης τὴν χεῖρα· καίτοι μοι καὶ τὴν γλῶτταν εἶναι συμβέβηκεν ὑπὸ τῆς ἀνασκησίας ἀργοτέραν καὶ ἀδιάρθρωτον. Ἔρρωσό μοι, ἀδελφὲ ποθεινότατε καὶ προσφιλέστατε.

Λιβάνιος πρὸς ταῦτα.

Εἰ ταῦτα γλώττης ἀργοτέρας, τίς ἂν εἴης αὐτὴν ἀκονῶν; Ἀλλὰ σοῦ μὲν ἐν τῷ στόματι λόγων οἰκοῦσι πηγαὶ κρείττους ἢ δεῖσθαι ἐπιρροῆς· ἡμεῖς δὲ ἣν μὴ καθ' ἡμέραν ἀρδώμεθα, λείπεται σιγᾶν. Τὸν δὲ λόγον ζητεῖς μὲν ἔρημον βοηθοῦ λαβεῖν (καὶ διὰ τοῦτό σοι Πρίσκος ὁ καλὸς μέλει), δέχου δὲ ὅμως· πάντως γὰρ ὅ τι ἂν γνῷς στέρξομεν.

97 [ep. 74 et 14].

Ἰουλιανὸς Λιβανίῳ.

Ἀποδέδωκας Ἀριστοφάνει τὰς ἀμοιβὰς τῆς τε περὶ τοὺς

---

2 sq. cf. Sophocl. *Philoct.* 97.
15 Thomas Magister *s. v.* Ἀπόδοσις· Ἰουλιανὸς ἐν ἐπιστολῇ· ἀποδέδωκας Ἀριστοφάνει τὰς ἀμοιβάς.

[1 — 5] ALM = c BNO = b Q C X
[6 — 12] AL = c Q Z BΔ = r Υ = cod. Vossianus 77[1] Libanii.
[14 sq.] FDQSHLΛ

1 πράττειν : γράφειν C || **2** ἦν : ἤμην bQ || **4** ἀνασκησίας : ἀνάγκης c || καὶ : τε καὶ X

6 λιβάνιος πρὸς ταῦτα (i. e. praecedenti epistulae responsum) Q: λιβάνιος ἰουλιανῷ AZ ἰουλιανῷ λιβάνιος Δ λιβάνιος αὐτῷ (scil. Ἰουλιανῷ) B ἰουλιανῷ αὐτοκράτορι Υ om. L; cf. Liban. *ep.* 1588 W. || **7** αὐτὴν : ταύτην Q || **8** Ἀλλὰ om. r || σοῦ : σοὶ LZ || μὲν : γὰρ r || τῷ στόματι : τῇ ψυχῇ r || **9** ἡμῖν malit Wolf || **9/10** ἣν — ἀρδώμεθα : εἰ — ἀρδόμεθα QZ εἰ — ἀρδευόμεθα r || **9** ἡμέραν : ἑκάστην Z || **10** τὸ σιγᾶν Qr || Τὸν δὲ — **12** στέρξομεν om. r || **10** δὲ post λόγον transp. Υ om. Q || μὲν om. Q || **11** καὶ om. Z || **12** μέλει QZ : μέλλει cΥ || γὰρ : δὲ Q om. Υ || ἂν ὅ τι transp. Z

14 ἰουλιανὸς λιβανίῳ FSL : ἰουλιανοῦ τῷ ἑταίρῳ λιβανίῳ D ἰουλιανὸς τῷ ἑταίρῳ λιβανίῳ in ras. Λ[2] ἰουλιανὸς αὐτοκράτωρ λιβανίῳ τῷ σοφιστῇ χαίρειν Q om. H || **15** ἀπέδωκας D

θεοὺς εὐσεβείας καὶ τῆς περὶ σεαυτὸν προθυμίας, ἀμείψας αὐτῷ καὶ μεταθεὶς τὰ πρόσθεν ἐπονείδιστα πρὸς εὔκλειαν, οὐ τὴν νῦν μόνον, ἀλλὰ καὶ εἰς τὸν ἔπειτα χρόνον, ὡς οὐχ ὅμοιόν γε ἡ Παύλου συκοφαντία καὶ ἡ τοῦ δεῖνος κρίσις τοῖς ὑπὸ σοῦ γραφομένοις λόγοις· ἐκεῖνα μὲν γὰρ ἀνθοῦντά τε ἐμισεῖτο καὶ συναπέσβη τοῖς δράσασιν, οἱ δὲ σοὶ λόγοι καὶ νῦν ὑπὸ τῶν ἀληθῶς Ἑλλήνων ἀγαπῶνται, καὶ εἰς τὸν ἔπειτα χρόνον, εἰ μή τι σφάλλομαι κρίσεως ὀρθῆς, ἀγαπήσονται.

Πεύσῃ δὴ λοιπὸν εἰ πέπεικάς με, μᾶλλον δὲ μεταπέπεικας ὑπὲρ τοῦ Ἀριστοφάνους· μὴ νομίζειν αὐτὸν ἡδονῶν ἥττονα καὶ χρημάτων ὁμολογῶ. Τί δὲ οὐ μέλλω τῷ φιλοσοφωτάτῳ καὶ φιλαληθεστάτῳ <τῶν> ῥητόρων εἴκειν ; Ἕπεται δὴ καὶ τὸ ἐπὶ τούτῳ παρὰ σοῦ προσανερωτᾶσθαι τί οὖν οὐ μετατίθεμεν αὐτῷ τὰς συμφορὰς εἰς ἀμείνω τύχην καὶ ἀφανίζομεν τὰ κατασχόντα διὰ τὰς δυσπραγίας ὀνείδη· σύν τε δύ᾽ ἐρχομένω, φασίν, ἐγὼ καὶ σὺ βουλευσώμεθα. Δίκαιος δὲ εἶ μὴ συμβουλεύειν μόνον ὅ τι χρὴ βοηθεῖν ἀνδρὶ τοὺς θεοὺς ἀδόλως τετιμηκότι, ἀλλὰ καὶ ὃν χρὴ τρόπον·

17 Homer. K 224. Cf. Plat. *Conviv.* 174 D.

FDQSHLΛ

2 αὐτὸν S ‖ ἔμπροσθεν H ‖ **3** οὐ : οὔτι H ‖ **4** ἡ τοῦ δεῖνος κρίσις : a Constantio condemnatus fuerat Aristophanes ; cf. Seeck BLZG p. 89 ‖ **5** μὲν : τε L ‖ **7** ὑπὸ : ἀπὸ H ‖ ἀληθῶσ, ν supra σ scripto, QS om. H ‖ **8** ἔπειτα : ἅπαντα H ‖ τι : τε L ‖ σφάλλομαι HL σφάλλωμαι QS ‖ **9/10** ἀγαπήσονται FQS (sed θη supra η scripserunt Q²S) ἀγαπηθήσονται DH et in ras. Λ² ἀγαπήσεται L ‖ **10** πέπεικάς με : μὴ πέπεισμαι H ; cf. Liban. *Orat.* XIV in fine : τί φῄς, ὦ βασιλεῦ ; πείθομεν ἢ ληροῦμεν ; ‖ **11** τοῦ om. Q ‖ **13** καὶ φιλαληθείας ῥήτορι D ‖ φιλαληθεστάτῳ <τῶν> Hercher : φιλαληθεῖ FQSL (sed in margine γρ. καὶ ἀληθείας ῥήτορι Q²S) φιλαλήθει Λ φιλαλήλει H ‖ **14** δὴ : δὲ FS om. QL ‖ τὸ : τῶ in τὸ corr. Q τῶ DS ‖ τούτοις Q ‖ **15** οὐ SH : om. FDQLΛ (sed οὐ supra scripto Q) ‖ αὐτοῦ ex αὐτῶ corr. Q αὐτοῦ S ‖ **17** δύ᾽ : δι᾽ H ‖ ἐγώ τε καὶ H ‖ σὺ βουλευσόμεθα DΛ συμβουλευσώμεθα H συμβουλευσόμεθα L ‖ **18** εἶ μὴ : εἶμι LΛ (in εἶ μὴ corr. Λ²) ‖ **18** ἀδόλους, ω supra ου scripto, Q ἀδήλως L

καίτοι καὶ τοῦτο ᾐνίξω τρόπον τινά. Βέλτιον δὲ ἴσως ὑπὲρ τῶν τοιούτων οὐ γράφειν, ἀλλὰ διαλέγεσθαι πρὸς ἀλλήλους. Ἔρρωσό μοι, ἀδελφὲ ποθεινότατε καὶ προσφιλέστατε.

382 d Ἀνέγνων δὲ χθὲς τὸν λόγον πρὸ ἀρίστου σχεδόν, ἀριστήσας δέ, πρὶν ἀναπαύσασθαι, τὸ λοιπὸν προσαπέδωκα τῆς ἀναγνώσεως. Μακάριος εἶ λέγειν οὕτω, μᾶλλον δὲ φρονεῖν οὕτω δυνάμενος. Ὦ λόγος, ὦ φρένες, ὦ σύνεσις, ὦ διαίρεσις, ὦ ἐπιχειρήματα, ὦ τάξις, ὦ ἀφορμαί, ὦ λέξις, ὦ ἁρμονία, ὦ συνθήκη.

Λιβάνιος Ἰουλιανῷ αὐτοκράτορι.

Ἐγὼ μὲν Ἀριστοφάνει τὰς ἀμοιβάς, σὺ δὲ ἀπέδωκας ἐμοὶ τοῦ περὶ σὲ φίλτρου λαμπροῦ τε καὶ σφοδροῦ καὶ οὔτε θεοὺς οὔτε ἀνθρώπους λανθάνοντος, ὡς νῦν γε μικροῦ πέτομαι πρὸς ὕψος ἀρθεὶς ὑπὸ τῆς ἐπιστολῆς, ἐλπίδας τε ἐνεγκούσης καὶ τὸν λόγον μοι κοσμούσης· καὶ μικρά μοι πάντα ἤδη φαίνεται, Μίδου πλοῦτος, κάλλος Νιρέως, Κρίσωνος τάχος, Πολυδάμαντος ῥώμη, μάχαιρα Πηλέως. Δοκῶ δ᾽ ἄν μοι μηδ᾽ ἂν τοῦ νέκταρος μετασχὼν ἡσθῆναι μᾶλλον ἢ νῦν, ὅτε μοι βασιλεύς, ὃν πάλαι Πλάτων ζητῶν

6 sq. cf. Fronton. et M. Aurel. *Epist.* II 3, p. 28, 17 sq. ed. Naber

[1—9] FDQSHLA — [4—9] T BΔ=r V AM=c NO=b

1 καίτοι om. H || καὶ FH : om. cett. || τοῦτον DH || ᾐνίξω : δείξω H || 2/3 πρὸς ἀλλήλους om. H || 3 ποθεινότατε καὶ προσφιλέστατε : τιμιότατε H || 4—9 Haec iam scriptae epistulae a Iuliano manu propria, ut videtur, addita cum praecedentibus sine distinctione coniungunt recte FDQSLA, velut separatam epistulam (=ep. 14 Hertlein) praebent falso cum variis titulis cett. : λιβανίω κοιαίστωρι B ἰουλιανὸς (ἰουλιανὸς om. T) λιβανίω σοφιστῇ καὶ κοιαίστωρι TΔV[H] ἰουλιανὸς λιβανίω c τῷ αὐτῷ (scil. Λιβανίῳ) O om. N || 4 δὲ DQSLA : om. cett. || σχεδὸν πρὸ ἀρίστου transp. D || 5/6 τῇ ἀναγνώσει B || 6 μᾶλλον — 7 οὕτω om. c || 7 σύνθεσις b || 8 ᾽πιχειρήματα V διηγήματα c || ὦ τάξεις Tb || ὦ λέξεις TO

10 sq. : ad textum huius Libanii epistulae (758 ed. Förster) constituendum parvi sunt momenti nostri codices, quorum varias lectiones iam pridem (*Recherches*, p. 128 sq.) publici iuris fecimus

ὀψέ ποθ᾿ εὗρε, τήν τε γνώμην ἐπῄνεσε, τόν τε λόγον ἐθαύμασε, καὶ τιμῶν τῇ τοῦ δώσειν ὑποσχέσει, τῷ μετ᾿ ἐμοῦ σκοπεῖν ἐθέλειν ὃ δοῦναι δεῖ τιμᾷ μειζόνως. Οὐκ ἄρα ὁ τὴν Αἶγα τὴν οὐρανίαν ἐπιτέλλουσαν παρατηρῶν παντὸς ἂν τύχοι, ὅπου γε ἐμοὶ τοῦτο οὐ σπουδάσαντι τὰ μέγιστα γίγνεται, κἂν δεηθῶ του καλοῦ, βασιλεὺς ἕτοιμος εἰς τὴν χάριν, θεὸν τὴν ἐν οὐρανῷ μιμούμενος;

Ἡ μὲν οὖν ἐπιστολή σου προσκείσεται τῷ λόγῳ, μηνύουσα παισὶν Ἑλλήνων ὡς οὐ μάτην ἐξεπέμφθη τὸ βέλος· καὶ φιλοτιμήσεται τοῖς μὲν ὑπ᾿ ἐμοῦ γεγραμμένοις Ἀριστοφάνης, τοῖς ὑπὸ σοῦ δὲ ἐπεσταλμένοις ἐγώ, μᾶλλον δὲ ἀμφότεροι τοῖς τε ἐπεσταλμένοις τοῖς τε δοθησομένοις· σεμνότεροι γὰρ ἀμφοτέροις ἀμφότεροι.

Δεῖ δέ σε τὸν φόβον Ἀριστοφάνους μαθεῖν, ὅπως ἂν καὶ γελάσαις· τῶν τις εἰσιέναι παρὰ σὲ δείλης εἰωθότων ἥκων ἐπὶ θύρας, εἶτα κωλυθείς, ὡς σοῦ τινα ποιοῦντος λόγον, ἤγγειλεν ἡμῖν, καὶ φόβος εὐθὺς μὴ παλαῖσαι προελόμενος πρὸς τὸν λόγον, καταβάλῃς μὲν τὸν διδάσκαλον, Ἀριστοφάνει δὲ τὸ Νείλου περιστήσῃς κακόν. Δρόμος οὖν παρὰ τὸν καλὸν Ἐλπίδιον· ὁ δὲ μαθὼν ἐφ᾿ ᾧ δεδοίκαμεν, ἀνεκάγχασεν· εἶθ᾿ οὕτως ἀνεπνεύσαμεν καὶ μικρὸν ὕστερον δεχόμεθα τὴν καλὴν ἐπιστολήν.

98 [ep. 27].

Scripta est haec epistula Hierapoli Syriae die 10 vel 11 mensis Martii a. 363 (cf. Ammian. Marc., XXIII, 2, 6 : *tertium nonas Martias* [*maias* cod., corr. Gelenius ; cf. Schwarz, p. 18 sq.] *profectus Hierapolim... venit* ; Zosim., III, 12, 1 sq. : Πέμπτῃ δὲ τὴν Ἱεράπολιν ἡμέρᾳ καταλαβών... τρεῖς ἐπιμείνας τῇ Ἱεραπόλει μόνας ἡμέρας). De itinere Iuliani cf. F. Cumont, *Études Syriennes*, Paris, 1917, p. 1 sq. — De postrema a Iuliano ad Libanium ἀπὸ τῶν τῆς ἀρχῆς ὅρων missa epistula cf. Liban., *Orat.* I, 132, p. 147, 3 sq.

Ἰουλιανὸς Λιβανίῳ σοφιστῇ καὶ κοιαίστωρι. 399 b

Μέχρι τῶν Λιτάρβων ἦλθον (ἔστι δὲ [ἡ] κώμη Χαλκίδος)

V C

33-34 titulum et primam litteram (M), quae rubricari solent, om C || 34 λιτάρχων C || [ἡ] Hertlein

καὶ ἐνέτυχον ὁδῷ λείψανα ἐχούσῃ χειμαδίων Ἀντιοχικῶν· ἦν δὲ αὐτῆς, οἶμαι, τὸ μὲν τέλμα τὸ δὲ ὄρος, τραχεῖα δὲ πᾶσα, καὶ ἐνέκειντο τῷ τέλματι λίθοι ὥσπερ ἐπίτηδες ἐρριμμένοις ἐοικότες, ὑπ' οὐδεμιᾷ τέχνῃ συγκείμενοι ὃν
c τρόπον εἰώθασιν ἐν ταῖς ἄλλαις πόλεσι τὰς λεωφόρους οἷον ἐξοικοδομοῦντες ποιεῖν, ἀντὶ μὲν τῆς κονίας πολὺν τὸν χοῦν ἐποικοδομοῦντες, πυκνοὺς δὲ ὥσπερ ἐν τοίχῳ τιθέντες τοὺς λίθους. Ἐπεὶ δὲ διαβὰς μόλις ἦλθον εἰς τὸν πρῶτον σταθμόν, ἐννέα που σχεδὸν ἦσαν ὧραι, καὶ ἐδεξάμην εἴσω τῆς αὐλῆς τὸ πλεῖστον τῆς παρ' ὑμῖν βουλῆς· ἃ δὲ διελέχθημεν πρὸς ἀλλήλους, ἴσως ἐπύθου· μάθοις
d δ' ἂν καὶ ἡμῶν ἀκούσας, εἰ θεοὶ θέλοιεν.

Ἀπὸ τῶν Λιτάρβων εἰς τὴν Βέρροιαν ἐπορευόμην, καὶ ὁ Ζεὺς αἴσια πάντα ἐσήμηνεν, ἐναργῆ δείξας τὴν διοσημίαν. Ἐπιμείνας δὲ ἡμέραν ἐκεῖ, τὴν ἀκρόπολιν εἶδον, καὶ ἔθυσα τῷ Διὶ βασιλικῶς ταῦρον λευκόν, διελέχθην δὲ ὀλίγα τῇ βουλῇ περὶ θεοσεβείας. Ἀλλὰ τοὺς λόγους ἐπῄνουν μὲν ἅπαντες, ἐπείσθησαν δὲ αὐτοῖς ὀλίγοι πάνυ, καὶ οὗτοι οἳ καὶ πρὸ τῶν ἐμῶν λόγων ἐδόκουν ἔχειν ὑγιῶς, εὐλαβοῦντο δὲ
400 ὥσπερ παρρησίας ἀποτρίψασθαι τὴν αἰδῶ καὶ ἀποθέσθαι. Περίεστι γάρ, ὦ θεοί, τοῖς ἀνθρώποις ἐπὶ μὲν τοῖς καλοῖς ἐρυθριᾶν, ἀνδρείᾳ ψυχῆς καὶ εὐσεβείᾳ, καλλωπίζεσθαι δὲ ὥσπερ τοῖς χειρίστοις, ἱεροσυλίᾳ καὶ μαλακίᾳ γνώμης καὶ σώματος.

Ἔνθεν ὑποδέχονταί με Βάτναι, χωρίον οἷον παρ' ὑμῖν

---

2 sq. cf. Liban. *Epist.* 807 § 1 || **10** sq. cf. Liban. *Orat.* XVI 1 et I 132 || **16** sq. cf. Theodoret. *Hist. eccl.* III 22, 2.

V[U] C

1 καὶ UC : ... V || λείψανον C || **6** οἷον V : οἱ C || **10/11** τὸ πλεῖστον — βουλῆς om. C || **11** διειλέχθημεν in διελέχθημεν corr. V, cf. infra v. 16 || **13** λιτάρκων C || **14/15** διοσημείαν, ει e correctione, C || **17** θεοσημείας C || **19** εὐλαβοῦντο Cobet : ἐλάβοντο codd. || **20** ἀπορρίψασθαι in ἀποτρίψασθαι corr. C || **23** ὥσπερ defendit Heyler (« *quasi gloriari* » ; cf. 327 C ναρκῶσαν ὥσπερ, etc.) : ἐπὶ Hercher

οὐκ εἶδον ἔξω τῆς Δάφνης, ἣ νῦν ἔοικε ταῖς Βάτναις· ὡς τά γε πρὸ μικροῦ, σωζομένου τοῦ νεὼ καὶ τοῦ ἀγάλματος. b Ὄσσῃ καὶ Πηλίῳ καὶ ταῖς Ὀλύμπου κορυφαῖς καὶ τοῖς Θετταλικοῖς Τέμπεσιν ἄγων ἐπίσης, ἢ καὶ προτιμῶν ἁπάντων ὁμοῦ τὴν Δάφνην οὐκ αἰσχυνοίμην, ἱερὸν Διὸς Ὀλυμπίου καὶ Ἀπόλλωνος Πυθίου [τὸ] χωρίον. Ἀλλ' ἐπὶ μὲν τῇ Δάφνῃ γέγραπταί σοι λόγος, ὁποῖον ἄλλος οὐδὲ εἷς τῶν οἳ νῦν βροτοί εἰσι καὶ μάλα ἐπιχειρήσας ἂν καμεῖν ἐργάσαιτο, νομίζω δὲ καὶ τῶν ἔμπροσθεν οὐ πολλοὺς πάνυ. Τί οὖν ἐγὼ νῦν ἐπιχειρῶ περὶ αὐτῆς γράφειν, οὕτω λαμπρᾶς <σοι μονῳδίας> ἐπ' αὐτῇ συγγεγραμμένης; ὡς μήποτε c ὤφελε τοιοῦτον.

Αἵ γε μὴν Βάτναι (βαρβαρικὸν ὄνομα τοῦτο) χωρίον ἐστὶν Ἑλληνικόν, πρῶτον μὲν ὅτι διὰ πάσης τῆς πέριξ χώρας ἀτμοὶ λιβανωτοῦ πανταχόθεν ἀνῆσαν, ἱερεῖά τε ἐβλέπομεν εὐτρεπῆ πανταχοῦ. Τοῦτο μὲν οὖν εἰ καὶ λίαν εὔφρανέ με, θερμότερον ὅμως ἐδόκει καὶ τῆς εἰς τοὺς θεοὺς εὐσεβείας ἀλλότριον· ἐκτὸς πάτου γὰρ εἶναι χρὴ καὶ δρᾶσθαι καθ' d ἡσυχίαν, ἐπ' αὐτὸ τοῦτο πορευομένων, οὐκ ἐπ' ἄλλο τι βασταζόντων τὰ πρὸς τοὺς θεοὺς ἱερεῖά τε καὶ ὅσια. Τοῦτο

4 cf. p. 29, 26 || 6 sq. cf. Liban. *Orat.* LX et XI 235 sq. || 7 sq. cf. Homer. A 272.

V C

5 οὐκ <ἂν> Hertlein ; οὐκ <ἂν> ᾐσχυνόμην Hercher || 5 6 [ἱερὸν — χωρίον] Hertlein || 6 τὸ uncis inclusimus, cf. Iulian. 150 C ; de templo Iovis Olympii apud Daphnen cf. Liban. *Epist.* 763, 1314, 1318 W., et *Orat.* XI 236 || 8 ἐπιχειρήσαις V || ἂν καμεῖν V : συγκαμεῖν C; an καμεῖν ἂν ? || 10 νῦν ἐγὼ transp. C || 11 <σοι μονῳδίας> P. Thomas <μελέτης> Reiske <βίβλου> vel <μονῳδίας> Heyler || 13 βάτται C || 15 ἀνῆσαν scripsimus : ἦσαν codd. || 16 εὐπρεπῆ C || 17 τῆς om. V || 19 ἐπ' αὐτὸ τοῦτο « ad deos colendum » Reiske || οὐκ ἐπ' ἄλλο τι « non ad ostentandum et iactandum imperatori suum studium deos colendi » Reiske || 20 « ἱερεῖα victimas et ὅσια reliquas cærimonias » Reiske

μὲν οὖν ἴσως τεύξεται τῆς ἁρμοζούσης ἐπιμελείας αὐτίκα· τὰς Βάτνας δὲ ἑώρων πεδίον λάσιον ἄλση κυπαρίττων ἔχον νέων (καὶ ἦν ἐν ταύταις οὐδὲν γεράνδρυον οὐδὲ σαπρόν, ἀλλὰ ἐξίσης ἅπαντα θάλλοντα τῇ κόμῃ) καὶ τὰ βασίλεια
401 πολυτελῆ μὲν ἥκιστα (πηλοῦ γὰρ ἦν μόνον καὶ ξύλων, οὐδὲν ποικίλον ἔχοντα), κῆπον δὲ τοῦ μὲν Ἀλκινόου καταδεέστερον, παραπλήσιον δὲ τῷ Λαέρτου, καὶ ἐν αὐτῷ μικρὸν ἄλσος πάνυ, κυπαρίττων μεστόν, καὶ τῷ τριγχίῳ δὲ πολλὰ τοιαῦτα παραπεφυτευμένα δένδρα στίχῳ καὶ ἐφεξῆς· εἶτα τὸ μέσον πρασιαί, καὶ ἐν ταύταις λάχανα καὶ δένδρα παν-
b τοίαν ὀπώραν φέροντα. Τί οὖν ἐνταῦθα; ἔθυσα δείλης, εἶτ' ὄρθρου βαθέος, ὅπερ εἴωθα ποιεῖν ἐπιεικῶς ἑκάστης ἡμέρας. Ἐπεὶ δὲ ἦν καλὰ τὰ ἱερά, τῆς <῾Ιερᾶς> πόλεως εἰχόμεθα, καὶ ὑπαντῶσιν ἡμῖν οἱ πολῖται, καὶ ὑποδέχεταί με ξένος, ὀφθεὶς μὲν ἄρτι, φιλούμενος δὲ ὑπ' ἐμοῦ πάλαι· τὴν δὲ αἰτίαν αὐτὸς μὲν εὖ οἶδ' ὅτι συνείρεις, ἐμοὶ δὲ ἡδὺ καὶ ἄλλως φράσαι· τὸ γὰρ ἀεὶ περὶ αὐτῶν ἀκούειν καὶ λέγειν ἐστί μοι νέκταρ. Ἰαμβλίχου τοῦ θειοτάτου τὸ
c θρέμμα Σώπατρος ἐγένετο τούτου κηδεστὴς † ἐξ ὅσου †. Ἐμοὶ γὰρ τὸ μὴ πάντα ἐκείνων τῶν ἀνδρῶν ἀγαπᾶν ἀδικημάτων οὐδὲν οὕτω φαυλότατον εἶναι δοκεῖ. Πρόσεστι ταύτης αἰτία μείζων· ὑποδεξάμενος γὰρ πολλάκις τόν τε ἀνεψιὸν τὸν ἐμὸν καὶ τὸν ὁμοπάτριον ἀδελφόν, καὶ προτραπεὶς ὑπ' αὐτῶν, οἷα εἰκός, πολλάκις ἀποστῆναι τῆς εἰς τοὺς

---

11 sq. cf. p. 142, 15 || **13** cf. 286 D.

V [desinit **9** τοιαῦτα] C

2 an <κατὰ> τὰς Βάτνας δὲ? || **3** νέα C || γεράδρυον C || **6** ἀλκίνου C || **8** μεστόν C: μέσων V || τριγχίῳ V: τριχίῳ C θριγκίῳ Petau || **10** an <κατὰ> τὸ μέσον? || **11** δήλης cod., corr. Martinius || **13** <῾Ιερᾶς> Reiske, cf. p. 159, 5 || πολέως, σ e correctione, cod. || **19** post ἐξ ὅσου interpungit cod.; an Ἐξ ἴσου γὰρ ἐμοί? || **21** οὐδὲν — φαυλότατον : οὐδενὸς ἧττον τῶν φαυλοτάτων Reiske οὐ δήπου τῶν φαυλοτάτων P. Thomas || **22/23** scil. Constantium et Gallum; cf. *Misop.* 340 A

θεοὺς εὐσεβείας, ὃ χαλεπόν ἐστιν, οὐκ ἐλήφθη τῇ νόσῳ.

Πολλοὶ στρατιῶται προσῆλθόν μοι τὴν Γαλιλαίων . . .
. . . .

Ταῦτα εἶχον ἀπὸ τῆς Ἱερᾶς πόλεώς σοι γράφειν ὑπὲρ τῶν ἐμαυτοῦ. Τὰς δὲ στρατιωτικὰς ἢ πολιτικὰς οἰκονομίας d
αὐτὸν ἐχρῆν, οἶμαι, παρόντα ἐφορᾶν καὶ ἐπιμελεῖσθαι· μεῖζον γάρ ἐστιν ἢ κατ' ἐπιστολήν, εὖ ἴσθι, καὶ τοσοῦτον ὅσον οὐ ῥᾴδιον οὐδὲ τριπλασίῳ τούτου περιλαβεῖν σκοποῦντι τἀκριβές· ἐπὶ κεφαλαίου δέ σοι καὶ ταῦτα φράσω δι' ὀλίγων. Πρὸς τοὺς Σαρακηνοὺς ἔπεμψα πρέσβεις, ὑπομιμνήσκων αὐτοὺς ἥκειν, εἰ βούλοιντο. Ἓν μὲν δὴ τοιοῦτον· ἕτερον δέ, λίαν ἐγρηγορότας ὡς ἐνεδέχετο τοὺς παραφυλάξοντας 402
ἐξέπεμψα, μή τις ἐνθένδε πρὸς τοὺς πολεμίους ἀπέλθῃ λαθών, ἐσόμενος αὐτοῖς ὡς κεκινήμεθα μηνυτής. Ἐκεῖθεν ἐδίκασα δίκην στρατιωτικήν, ὡς ἐμαυτὸν πείθω, πραότατα καὶ δικαιότατα. Ἵππους περιττοὺς καὶ ἡμιόνους παρεσκεύασα, τὸ στρατόπεδον εἰς ταὐτὸ συναγαγών. Ναῦς πληροῦνται ποτάμιαι πυροῦ, μᾶλλον δὲ ἄρτων ξηρῶν καὶ ὄξους. Καὶ τούτων ἕκαστον ὅπως ἐπράχθη καὶ τίνες ἐφ' ἑκάστῳ b
γεγόνασι λόγοι, πόσου μήκους ἐστὶ συγγράφειν ἐννοεῖς.

---

7 cf. Xenoph. *Cyrop.* V 3, 59 || 11 sq. cf. Ammian. Marc. XXIII 3, 8 et 5, 1 || 14 sq. cf. Liban. *Orat.* XVIII 213 || 18 sq. cf. Liban. *ibid.* 214. Ammian. Marc. XXIII 3, 9. Zosim. III 12 sq.

C

2 post Γαλιλαίων vacuum spatium versuum duorum et dimidii (= circa septuaginta litt.) cod. || 9 οὐδὲ Ald. : οὐ cod. || τριπλάσια cod., correximus; τριπλασίᾳ ταύτης Reiske || 9 10 τἀκριβές, κρ et β e correctione, cod. || 10 ἐπὶ κεφαλαίου : ἐπεὶ καὶ φαίην cod., corr. Friederich qui δι' ὀλίγων ut glossam frustra delet; cf. 182 A || 11 ὑπομιμνήσκειν cod., corr. Ald. || 12 τοιοῦτο cod., corr. Hertlein || 14 ἐπέλθῃ cod., correximus; ἐξέλθῃ Ald. || 16 δίκην Martinius : νίκην cod. || πραότατα, πραο e correctione, cod. || 18 ναῦς cod.; cf. 279 D || 21 συγγραφή cod., corr. Cobet || ἐννοεῖς Ald. : ἐννοεῖν cod.

Ἐπιστολαῖς δὲ ὅσαις ὑπέγραψα καὶ βίβλοις (ἑπόμενα ὥσπερ σκιά μοι καὶ ταῦτα συμπερινοστεῖ πανταχοῦ) τί δεῖ νῦν πράγματα ἔχειν ἀπαριθμούμενον;

99-105
DE REBUS ANTIOCHENIS

99
De decurionibus Antiochenis.

Cod. Theodos., XII, 1, 51 [= *Cod. Iustin.*, X, 32, 22] (362 Aug. 28):

Idem [*scil.* Imp. Iulianus] A. Iuliano Com(iti) Or(ientis). Eos indulserunt veteres principes ex materno genere curialibus Antiochenis adscribi, quos patris dignitas (condicio *Iust.*) nullius vindicaret iuri civitatis. Dat. v kal. Sept. Antiochiae Mamertino et Nevitta conss.

Zosim., III, 11, 5: Ὁ δὲ βασιλεὺς (scil. Ἰουλιανὸς) βοηθήσας τὰ εἰκότα τῇ πόλει (scil. τῶν Ἀντιοχέων) καὶ πλῆθος πολὺ παραδοὺς βουλευτῶν, ἐκ πατρὸς εἰς τοῦτο καταγομένων, καὶ ἔτι ὅσους ἔτυχον τεκοῦσαι βουλευτῶν θυγατέρες, ὅπερ ὀλίγαις δεδομένον ἔγνωμεν πόλεσιν...

Cf. *Cod. Iustin.*, X, 32, 61: Lege divae memoriae Iuliani, quae de materno curialium Antiochenae civitatis genere promulgata est...

Liban., *Orat.* XLVIII, 15: Καὶ μὴν κἀκεῖνό γε ἀκούω πολλάκις ἐνταυθοῖ λεγόμενον, ὡς εἴη νόμος βασιλέως ἐνδοξοτάτου πάντας, ὧν οἱ πάπποι βουλευταί, δεῖν ἐν τῇ βουλῇ τετάχθαι, κἂν ὦσι θυγατριδοῖ.

Cf. etiam Iulian., *Misop.*, 367 D (supra p. 27 sq.) et Ammian. Marc., XXV, 4, 21.

C

1 an βιβλίοις, scil. libellis? cf. p. 177, 22 et 25 ‖ ἑπόμενα <γὰρ> Reiske ‖ **2** σκιά Cobet : αἴσια cod.

100

De agris incultis Antiochenae civitati concessis.

Iulian., *Misop.*, 370 D : Γῆς κλήρους, οἶμαι, τρισχιλίους ἔφατε (scil. οἱ Ἀντιοχεῖς) ἀσπόρους εἶναι καὶ ᾐτήσασθε λαβεῖν, λαβόντες δὲ ἐνείμασθε πάντες οἱ μὴ δεόμενοι· τοῦτο ἐξετασθὲν ἀνεφάνη σαφῶς. Ἀφελόμενος δὲ αὐτοὺς ἐγὼ τῶν ἐχόντων οὐ δικαίως, καὶ πολυπραγμονήσας οὐδὲν ὑπὲρ τῶν ἔμπροσθεν, ὧν ἔσχον ἀτελεῖς, οὓς μάλιστα ἐχρῆν ὑποτελεῖς εἶναι, ταῖς βαρυτάταις ὑπένειμα λειτουργίαις αὐτοὺς τῆς πόλεως. Καὶ νῦν ἀτελεῖς ἔχουσιν οἱ καθ' ἕκαστον ὑμῖν ἐνιαυτὸν ἱπποτροφοῦντες γῆς κλήρους ἐγγὺς τρισχιλίους, ἐπινοίᾳ μὲν καὶ οἰκονομίᾳ τοῦ θείου τοὐμοῦ καὶ ὁμωνύμου, χάριτι δὲ ἐμῇ. ὃς δὴ τοὺς πανούργους καὶ κλέπτας οὕτω κολάζων εἰκότως ὑμῖν φαίνομαι τὸν κόσμον ἀνατρέπειν.

101

De pretiis rerum venalium apud Antiochenos.

Circa mensem Octobrem a. 362, i. e. quarto mense postquam Iulianus Antiochiam pervenerat, hoc edictum latum esse videtur (cf. infra v. 28).

Iulian., *Misop.*, 368 C : Τὸ δὲ δὴ μέγιστον, ἐξ οὗ τὸ μέγα ἤρθη μῖσος, ἀφικομένου μου πρὸς ὑμᾶς, ὁ δῆμος ἐν τῷ θεάτρῳ, πνιγόμενος ὑπὸ τῶν πλουσίων, ἀφῆκε φωνὴν πρῶτον ταύτην· « πάντα γέμει, πάντα πολλοῦ ». Τῆς ἐπιούσης διελέχθην ἐγὼ τοῖς δυνατοῖς ὑμῶν, ἐπιχειρῶν πείθειν ὅτι κρεῖττόν ἐστιν ὑπεριδόντας ἀδίκου κτήσεως εὖ ποιῆσαι πολίτας καὶ ξένους. Οἱ δὲ ἐπαγγειλάμενοι τοῦ πράγματος ἐπιμελήσεσθαι, μηνῶν ἑξῆς τριῶν ὑπεριδόντος μου καὶ περιμείναντος, οὕτως ὀλιγώρως εἶχον τοῦ πράγματος ὡς οὐδεὶς ἂν ἤλπισεν· ἐπεὶ δ' ἑώρων ἀληθῆ τὴν τοῦ δήμου φωνὴν καὶ τὴν ἀγορὰν οὐχ ὑπ' ἐνδείας, ἀλλ' ὑπ' ἀπληστίας τῶν κεκτημένων στενοχωρουμένην, ἔταξα μέτριον ἑκάστου τίμημα καὶ δῆλον ἐποίησα πᾶσιν. Cf. *ibid.*, 350 A sq., 357 D et 365 D.

Liban., *Orat.* XVIII, 195 : Καὶ ὁ μὲν (scil. ὁ Ἰουλιανὸς) ἐν τούτοις ἦν, βοὴ δὲ ἐξαίφνης ἐν ἱπποδρόμῳ δήμου πεινῶντος, ὡς τῆς μὲν γῆς ὑπὸ τῶν ἀέρων ἠδικημένης, τῆς πόλεως δὲ ὑπὸ τῶν εὐπόρων οὐ φερόντων εἰς μέσον χρονίου συλλογῆς θησαυρούς, ἀλλὰ τοῦ σίτου τὰς τιμὰς συνι-

στάντων. Συγκαλέσας δὴ γεωργοὺς καὶ χειροτέχνας καὶ καπήλους καὶ πάντων ἁπλῶς τιμητὰς ὠνίων ἀναγκάσας νόμῳ σωφρονεῖν, καὶ πρῶτος αὐτὸς ἀκολουθήσας τῷ νόμῳ τοὺς αὐτοῦ πυροὺς εἰς ἀγορὰν ἐνεγκών, ἐπειδὴ τῷ νόμῳ μαχομένην ᾔσθετο τὴν βουλὴν καὶ τοῖς μὲν αὐτοῦ χρωμένην,... Cf. *Orat.* I, 126 ; XV, 8 et 21 ; XVI, 15, 21 sq., etc.

Ammian. Marc., XXII, 14, 1 sq. : Inter praecipua tamen et seria illud agere superfluum videbatur quod, nulla probabili ratione suscepta, popularitatis amore vilitati studebat (*scil.* Iulianus) venalium rerum, quae non numquam secus quam convenit ordinata inopiam gignere solet et famem, et Antiochensi ordine id tunc fieri cum ille iuberet non posse aperte monstrante, nusquam a proposito declinabat, Galli similis fratris, licet incruentus.

Socrat., III, 17, 2 : Ἐν ᾗ (scil. τῇ Ἀντιοχείᾳ) γενόμενος (scil. ὁ Ἰουλιανός), τὸ προσόν τε αὐτῷ φιλότιμον καὶ Ἀντιοχεῦσιν ἐπιδεῖξαι βουλόμενος, τὰς τιμὰς τῶν ὠνίων πλέον ἢ ἔδει εἰς ἔλαττον κατεβίβασε.

Sozomen., V, 19, 1 sq. : Ὁ δὲ βασιλεὺς ... ἧκεν εἰς Ἀντιόχειαν τὴν Σύρων· ἐκβοήσαντος δὲ τοῦ πλήθους ὡς πολλὰ μέν ἐστι τὰ ἐπιτήδεια, πολλοῦ δὲ πωλοῖτο, ὑπὸ φιλοτιμίας, οἶμαι, τὸν δῆμον ἐπαγόμενος, ἐπὶ ἥττονι ἢ ἔδει τιμήματι τὰ ἐπ' ἀγορᾶς ὤνια πωλεῖσθαι προσέταξεν. Ἐκφυγόντων δὲ τῶν καπήλων, τὰ μὲν ἐπιτήδεια ἐπέλιπεν.

102

De abolendis Daphnae festis.

A Iuliano hoc decretum esse censet Förster, coll. Liban., *Orat.* XVIII, 179 et Ammian. Marc., XXV, 4, 1 sq. (de Iuliani temperantia) ; a Constantio Gothofredus (ad *Cod. Theodos.*, XV, 6, 2), qui Maiumam hic significari credidit (de quo cf. Iulian., *Misop.*, 362 D).

Liban., *Orat.* L, 11 : Ἦσάν τινες οἳ πονηρὰν ἑορτὴν εἰσήγαγον εἰς τὴν Δάφνην· ἦν δὲ τὸ πάντα τρόπον ἀσχημονεῖν ἑορτὴν ποιεῖν. Τοῦτό τις κατιδὼν βασιλεὺς ἐπιεικὴς καὶ σώφρων (scil. ὁ Ἰουλιανός ?), αἰσχυνθεὶς μὲν τοῖς πραττομένοις, ἀλγήσας δ' ὑπὲρ τοῦ χωρίου, παύει τὴν ἐπὶ τοιούτοις σύνοδον καὶ παύσας εὐδοκιμεῖ. Cf. *ibid.*, XLI, 16.

103

De cadaveribus a Daphnaeo Apollinis oraculo amovendis.

Hoc decretum, ante incendium Daphnaei templi (22 Octobr. a. 362) latum, significat Iulianus ipse, *Misopog.*, 361 B.

Historiogr. anonym. Arianus, ed. Bidez, Philostorg. append., p. 231, 10 [= Theophan., p. 49, 30] : Νοήσας δὲ (scil. ὁ Ἰουλιανὸς) ὅτι διὰ τὰ ἀποκείμενα ἐν τῇ Δάφνῃ λείψανα τοῦ ἁγίου μάρτυρος Βαβυλᾶ ἀποσιωπᾷ τὸ εἴδωλον, δόγμα ἐξέπεμψε πάντα τὰ ἀποκείμενα ἐκεῖ τῶν νεκρῶν λείψανα μετατεθῆναι σὺν τοῖς τοῦ μάρτυρος.

Cf. praeterea Zonar., XIII, 12, 38 sq. ; Philostorg., VII, 8ᵃ, p. 92 ; Rufin., *Hist. eccl.*, X, 36 ; Sozomen., V, 19, 17 sq. ; Socrat., III, 18, 2 sq. ; Theodoret., *Hist. eccl.*, III, 10, 2 sq. ; Iohann. Chrysostom., *De S. Babyla c. Iulian.*, 15 sq. ; *De S. hierom. Babyla*, 2 ; Liban., *Orat.* LX, 5.

Cf. etiam Ammian. Marc., qui haec de Delphico narrat oraculo (XXII, 12, 8) : Iulianus... venas fatidicas Castalii recludere cogitans fontis, quem obstruxisse Caesar dicitur Hadrianus mole saxorum ingenti... circumhumata corpora statuit exinde transferri eo ritu quo Athenienses insulam purgaverunt Delon.

104

De fontibus et cibariis rite lustrandis.

Theodoret., *Hist. eccl.*, III, 15, 2 ; Πρῶτον μὲν γὰρ τὰς ἐν τῷ ἄστει καὶ τὰς ἐν Δάφνῃ πηγὰς ταῖς μυσαραῖς θυσίαις ἐμόλυνεν (scil. ὁ Ἰουλιανός), ἵν' ἕκαστος ἀπολαύων τοῦ νάματος μεταλαγχάνῃ τοῦ μύσους, ἔπειτα δὲ καὶ τὰ κατὰ τὴν ἀγορὰν προκείμενα τοῦ μιάσματος ἐνεπίμπλα· περιερραίνοντο γὰρ καὶ ἄρτοι καὶ κρέα καὶ ὀπῶραι καὶ λάχανα καὶ τἆλλα ὅσα ἐδώδιμα.

Theophylact. Bulgar., *Martyr. XV Martyrum*, 14, PG 126, 169 C : Ὥστε καὶ πηγὰς μιαίνειν προσέταττε λύθροις ἐναγῶν θυσιῶν καὶ αὐτὰ δὴ τὰ ἐν ταῖς πλατείαις κείμενα ὤνια.

105

De quaestionibus propter incendium Daphnaei templi instituendis et de maiore ecclesia Antiochiae claudenda (circa finem mensis Octobr. a. 362).

Ammian. Marc., XXII, 13, 1 : Eodem tempore diem undecimum kalendarum Novembrium amplissimum Dafnaei Apollinis fanum, quod Epifanes Antiochus rex ille condidit

iracundus et saevus, et simulacrum in eo Olympiaci Iovis imitamenti aequiperans magnitudinem, subita vi flammarum exustum est. 2. Quo tam atroci casu repente consumpto, ad id usque imperatorem (*scil.* Iulianum) ira provexit, ut quaestiones agitari iuberet solito acriores, et maiorem ecclesiam Antiochiae claudi. Suspicabatur enim id Christianos egisse.

6 <τύραννος> supplevimus; scil. Licinius? cf. Iulian. 328 D sq. et 315 D ‖ 7 cf. p. 150, 11 ‖ 8 σῆμα cod., qui dein nullam indicat lacunam; unus certe excidit, si non plures, versus ‖ 15 καίσαρος C: βασιλέως A ‖ 19 τράγου Reiske ‖ νύ seclusit Plan., « ἦ νύ σε scribi poterat » Stadtmüller ‖ 20 τῇ πενίῃ : ἠπανίῃ? Stadtmüller ‖ 22 βρόμον : « τῆς λεπτῆς κριθῆς σπέρμα » sch.B (ex Hesychio); cf. Stadtmüller

Ἰουλιανοῦ τοῦ παραβάτου
εἰς τὸν παρόντα Ὁμηρικὸν στίχον (α 329, λ 446 etc.)
ἓξ πόδας ἔχοντα, ὧν οἱ τρεῖς εἰσι δάκτυλοι.

« Κούρη Ἰκαρίοιο περίφρων Πηνελόπεια »
ἓξ ποσὶν ἐμβεβαυῖα τριδάκτυλος ἐξεφαάνθη.

170

Haec reperimus in codice Barocciano 133, s. XV, f. 161ᵛ. — Prius epigramma, quod alibi (cf. Boissonade, *Anecd. Gr.*, II, p. 475) Basilio Magno adscribitur, imperatoris potius quam episcopi esse monuimus (*Rev. de philol.*, XVI, 1892, p. 164 ; cf. infra nº 172). Idem fere distichum Palladae tribuitur in *Anthol. Palat.*, X, 73. — Alterum epigramma e Ps. Platone, II *Alcibiad.* (143 A), deprompsisse videtur Iulianus. Exstat et in *Anthol. Palat.*, X, 108.

Ἰουλιανοῦ τοῦ παραβάτου.

Ὡς ἐθέλει τὸ φέρον σε φέρειν, φέρου· ἢν δ' ἀπιθήσῃς,
καὶ σαυτὸν βλάψεις, καὶ τὸ φέρον σε φέρει.

Ἄλλοι τοῦ αὐτοῦ.

Ζεῦ βασιλεῦ, τὰ μὲν ἐσθλὰ καὶ εὐχομένοις καὶ ἀνεύκτοις
ἄμμι δίδου· τὰ δὲ λυγρὰ καὶ εὐχομένων ἀπερύκοις.

171-173

Huiusmodi senarios — « quales Byzantini... condiderunt, ne dicam quod Byzantinum monstrant vocabula τῶν ἀνακτόρων μέσον » (p. 221, 19) — a Iuliano abiudicandos esse vidit C. Dilthey, *Index schol. Gotting.*, 1891, p. 17 sq.

171

Hoc aenigma — cf. ἀδέσποτον (εἰς τὴν γυναῖκα Λώτ· οἱ δὲ Ἕλληνες εἰς Νιόβην αὐτὸ ἀναφέρουσιν) quod edidit

---

16 cf. infra p. 223, 10 sq. Sophocl. *Oed. Col.* 1694. Terent. *Phorm.* 138 etc. ‖ ἀπειθήσῃς cod. ‖ **19** Ζεῦ Ps. Plat. et *Anthol. Palat. l. l.* : θεὲ cod.

Stadtmüller (*Anthol. Palat.*, VII, 311) — Iuliano imperatori tribuitur in codice Harleiano 5624, s. XIV, f. 394, ubi legimus :

Ἰουλιανοῦ τοῦ παραβάτου
εἰς τὸν ἐντὸς τῆς μετάξης σκώληκα.

Ὁ τύμβος οὗτος ἔνδον οὐκ ἔχει νέκυν·
ὁ νεκρὸς οὗτος ἐκτὸς οὐκ ἔστιν τάφου,
ἀλλ' αὐτὸς αὑτοῦ γ' ἐστὶ νεκρὸς καὶ τάφος.

172

Hoc aenigma edidit Salmasius, *Plinianae exercitationes* (1629, II, p. 1022 A), e « libro regiae bibliothecae » quem reperire non potuimus. — Fere idem epigramma invenitur inter alia quorum Basilius Megalomites auctor esse fertur, et cum his editum est a Boissonade, *Anecd. Gr.*, III, p. 440. — Utrumque repetiit Cougny, *Anthol. Palat.*, vol. III ed. Didot, VII, 22 et 51 ; cf. etiam quae C. Dilthey, *l. l.*, p. 18, de codice Paris. suppl. Gr. 690, f. 108 refert.

Ἰουλιανοῦ τοῦ εὐσσεβοῦς εἰς κοντοπαίκτην.

Ἔστιν τι δένδρον τῶν ἀνακτόρων μέσον,
οὗ ῥίζα καὶ ζῇ καὶ λαλεῖ καρποῖς ἅμα·
μιᾷ δ' ἐν ὥρᾳ καὶ φυτεύεται ξένως
καὶ καρπὸν αὔξει καὶ τρυγᾶται ῥιζόθεν.

173

Tres sequentes versus fini epistulae 36 (supra p. 43) subiungit codex Paris. Gr. 967, a. 1377, f. 299 (cf. *Recherches*, p. 70).

Στίχοι εἰς ὡρολόγιον.

Κῆρυξ ἄφωνος ἡλίου κινημάτων,

---

7 ἔστι τάφου cod. : ἔχει τάφον *Anthol. Palat. l. l.* || 21 ὥρᾳ δὲ μιᾷ καὶ Basil. || 22 καρπὸν αὔξει : πάλιν πίπτει Basil.

<τ>ὰ νυκτὸς ἴχνη χαλκὸς ἐξαγγέλλεται·
ἅπαντα τέχνη δημιουργεῖ καὶ φύσις.

174

Sine auctoris nomine in folio B^{v} praefixo codici Anthologiae Palatinae hoc epigramma invenitur. Tzetzae vix credendum est, qui (*Chiliad.*, VI, 963 sq.), de Chirone locutus, tertii versus finem adfert Iuliano auctore nominato : Καὶ δὴ καὶ Ἰουλιανὸς ὁ αὐτοκράτωρ γράφει ἡρῴῳ μέτρῳ· « ἄνθρωπος δ᾽ ἀποπέρδεται ἵππον (ἀνθρώπου — ἵππος ed.) ». Cf. Boissonade, adn. ad *Anthol. Palat.*, XVI, 115 ed. Didot.

Εἰς ἱπποκένταυρον.

Ἀνδρόθεν ἐκκέχυθ᾽ ἵππος, ἀνέδραμε δ᾽ ἱππόθεν ἀνήρ,
ἀνὴρ νόσφι ποδῶν, κεφαλῆς δ᾽ ἄτερ αἰόλος ἵππος·
ἵππος ἐρεύγεται ἄνδρα, ἀνὴρ δ᾽ ἀποπέρδεται ἵππον.

175

Obscoenum carmen — quod ἄδηλον praebet *Anthol. Palat.*, XI, 108 ed. Didot — invenitur in codd. Paris. Gr. 1773, a. 1497, f. 261^{v}, et Paris. Gr. 2720, s. XVI, f. 8^{v}, sub titulo : « ἄδηλον ἀστεῖον τοῦ σατὰν ἰουλιανοῦ τοῦ παραβάτου ». Falsae huius inscriptionis originem aliis indagandam relinquimus.

B. APOPHTHEGMATA

De his fragmentis cf. *Recherches*, p. 47 et 50 sq. Primum (n° 176) insertum est e codice Laurentiano 70, 13 (= Φ ; cf. *Recherches*, p. 50) inter epistulas Libanii sub numero 1220 ed. Wolf.

---

1 ἐξαγγέλλεται scripsimus : ἐξ.. άγεται (?) cod. || **2** ἅπαντα scripsimus : πάντα cod. || **11** Εἰς < Χείρωνα τὸν > Boissonade e Tzetze

176 [ep. 64].

Ἰουλιανὸς πρὸς δῆμον εὐφημήσαντα ἐν τῷ Τυχαίῳ.

Εἰ μὲν εἰς τὸ θέατρον λαθὼν εἰσῆλθον, εὐφημεῖτε· εἰ δὲ εἰς τὰ ἱερά, τὴν ἡσυχίαν ἄγετε καὶ μετενέγκατε ὑμῶν τὰς εὐφημίας εἰς τοὺς θεούς· μᾶλλον δὲ οἱ θεοὶ τῶν εὐφημιῶν οὐ χρῄζουσιν.

177 [ep. 65].

Πρὸς ζωγράφον.

Εἰ μὲν μὴ εἶχον καὶ ἐχαρίσω μοι, συγγνώμης ἦσθα ἄξιος· εἰ δὲ εἶχον μέν, οὐκ ἐχρησάμην δέ, τοὺς θεοὺς ἔφερον, μᾶλλον δὲ ὑπὸ τῶν θεῶν ἐφερόμην. Σύ μοι ἀλλότριον σχῆμα πῶς ἐδίδους, ἑταῖρε; οἷόν με εἶδες, τοιοῦτον καὶ γράψον.

178

Πρὸς τριβοῦνον Εὐθυμέλην.

Ἡδονὴ βασιλεῖ πόλεμος.

179

1. Eunap., *Fragm.* 24 (*Excerpta de sententiis*, p. 82, 4 ed. Boissevain) : Ὅτι πρὸς τὸν Ὀριβάσιον εἰπόντα ὡς οὐ χρὴ τὸν θυμόν, κἂν ἐπεισπέσῃ, διὰ τῶν ὀμμάτων καὶ τῆς φωνῆς ἐκφορεῖσθαι « ὅρα τοίνυν, » εἶπεν (scil. ὁ Ἰουλιανός), « ἐπειδὴ καλῶς λέγεις, εἰ τοῦτο ἐγκαλέσεις ἔτι δεύτερον. »

2. Ammian. Marc., XVIII, 1, 4 : Numerium Narbonensis

---

3 sq. cf. *Misop.* 344 Bsq. et 362 AB || **10** sq. cf. p. 220, 16.

[2-6] ALM = c Φ — **[8-13]** ALM — **[15-16]** A

2 ἰουλιανόσ (ἰουλιανόσ om. A) πρόσ — τυχαίω AM : om. L τῷ δήμῳ εὐφημήσαντι Φ || **4** μετηνέγκατε Φ || **4/5** τὰς εὐφημίας ὑμῶν transp. Φ || **8** πρὸσ ζωγράφον A : ζωγράφω M om. L || **12** ἐδίδου LM || με εἶδεσ A : μετ' εἶδεσ L μετεῖδεσ M || **15** Εὐθυμέλην scripsimus : εὐθυμελ(ησ) cod.

paulo ante reciorem, accusatum ut furem, inusitato censorio vigore pro tribunali palam admissis volentibus audiebat; qui cum infitiatione defenderet obiecta, nec posset in quoquam confutari, Delphidius orator acerrimus, vehementer eum inpugnans, documentorum inopia percitus, exclamavit : « ecquis, florentissime Caesar, nocens esse poterit usquam, si negare sufficiet? » Contra quem Iulianus prudenter motus ex tempore : « ecquis », ait, « innocens esse poterit, si accusasse sufficiet? »

Iohann. Antioch., *Fragm.* 178, 3, FHG, IV, 605 : Νουμεριανὸς κατηγορεῖτο ὑπό τινος ὡς κεκλοφὼς δημόσια χρήματα· ὁ δ' ἔξαρνος ἦν. Ὁ δὲ κατήγορος οὐκ ἔχων ἐλέγχους· « καὶ τίς, ἔφη, βασιλέων ἄριστε, τῶν ὑπαιτίων δίκην ὑπόσχῃ, εἰ πρὸς ἐκφυγεῖν τὸ ἀρνηθῆναι μόνον ἀρκεύει ; » Ὁ δὲ Ἰουλιανός· « καὶ τίς », ἔφη, « ἀναίτιος εὑρεθήσεται, εἰ ὁ κατήγορος ἐλέγχων χωρὶς πιστεύοιτο ; » Cf. Zonar., XIII, 12, 6 sq.

3. Iohann. Antioch., *ibid.*, 178, 4 : Ἰοβιανὸς ἠκολούθει ποτὲ Ἰουλιανῷ, καί, συμβὰν οὕτω, τὴν χλαμύδα αὐτοῦ ἐπάτησεν. Ὁ δέ, στραφεὶς πρὸς αὐτὸν καὶ ὥσπερ ἑρμηνεύων τὸ μέλλον, εἶπεν· « εἴθε γοῦν ἄνθρωπος ἦν ». Καὶ μετὰ θάνατον αὐτοῦ Ἰοβιανὸς αὐτὸν διεδέξατο. Zonaras (XIII, 14, 22) habet : « Αἴθε κἂν ἄνθρωπος ». Pars versus esse videtur.

4. Ammian. Marc., XV, 8, 17 : Susceptus denique (*scil.* Iulianus) ad consessum vehiculi (*scil.* Constantii) receptusque in regiam, hunc versum ex Homerico carmine (E 83) susurrabat : « ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή ». Haec diem octavum iduum Novembrium (a. 355) gesta sunt, cum Arbetionem consulem annus haberet et Lollianum... 20 : Quo maerore perculsus velut primo adventantium malorum auspicio murmurans querulis vocibus saepe audiebatur « nihil se plus adsecutum quam ut occupatior interiret ».

Iohann. Antioch., *Fragm.* 176, FHG, IV, 605 : Ἰουλιανὸς Καῖσαρ προβληθεὶς εἶπεν· « ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή », ὡς καὶ τοῦ ἀδελφοῦ αὐτοῦ ἐν τούτῳ τῷ σχήματι ἀπολωλότος.

5. Ammian. Marc., XVI, 5, 10 : Cum exercere proludia disciplinae castrensis philosophus cogeretur ut princeps, artemque modulatius incedendi per pyrricham concinentibus dis-

ceret fistulis, vetus illud proverbium « clitellae bovi sunt inpositae, plane non est nostrum onus », Platonem crebro nominans, exclamabat. 11. Inductis quadam sollemnitate agentibus in rebus in consistorium ut aurum acciperent, inter alios quidam ex eorum consortio, non ut moris est pansa chlamyde, sed utraque manu cavata suscepit. Et imperator « rapere », inquit, « non accipere sciunt agentes in rebus ». 12. Aditus a parentibus virginis raptae, eum qui violarat convictum relegari decrevit; hisque indigna pati querentibus, quod non sit morte multatus, responderat hactenus: « incusent iura clementiam, sed imperatorem mitissimi animi legibus praestare severis (ceteris *cod.*) decet ».

Ibid., XXII, 5, 4: Saepeque dictitabat (*scil.* de acerbe dissentientibus inter se Christianis Iulianus): « audite me quem Alamanni audierunt et Franci », imitari putans Marci principis veteris dictum. Sed parum advertit hoc ab eo nimium discrepare. 5. Ille enim cum Palaestinam transiret Aegyptum petens, Iudaeorum fetentium et tumultuantium saepe taedio percitus, dolenter dicitur exclamasse: « o Marcomanni, o Quadi, o Sarmatae, tandem alios vobis inquietiores (inetiores *cod.*, *l.* molestiores?) inveni. »

Ibid., 10, 4: Cumque eum defensores causarum, ut conscium rationis perfectae, plausibus maximis celebrarent, fertur id dixisse permotus: « Gaudebam plane praeque ferebam si ab his laudarer quos et vituperare posse adverterem, siquid factum sit secus aut dictum ».

Ibid., 10, 6 (cf. XXV, 4, 19): Et aestimabatur per haec et similia, ut ipse dicebat adsidue, vetus illa Iustitia, quam offensam vitiis hominum Aratus (v. 134 sq.) extollit in coelum, imperante eo reversa ad terras.

Ibid., XXV, 4, 2: Et primum ita inviolata castitate enituit, ut post amissam coniugem nihil umquam venereum agitaret, illud advertens, quod apud Platonem (*Resp.* 329 BC) legitur, Sofoclen tragoediarum scriptorem, aetate grandaevum, interrogatum ecquid adhuc feminis misceretur, negantem id adiecisse, quod gauderet harum rerum amorem ut rabiosum quendam effugisse dominum et crudelem. 3. Item ut hoc propositum validius confirmaret, recolebat saepe dictum lyrici Bacchylidis (*Fragm.* 38), quem legebat iucunde, id adserentis quod ut egregius pictor vultum speciosum effingit, ita pudicitia celsius consurgentem vitam exornat.

Ibid., 4, 15: Liberalitatis eius testimonia plurima

sunt... quodque numquam augendae pecuniae cupidus fuit, quam cautius apud dominos servari existimabat, id aliquotiens praedicans, Alexandrum Magnum, ubi haberet thesauros interrogatum, « apud amicos » benivole respondisse.

Ibid., 6, 10 : Hos autem Saracenos ideo patiebamur infestos, quod salaria muneraque plurima a Iuliano ad similitudinem praeteriti temporis accipere vetiti, questique apud eum, solum audierant imperatorem bellicosum et vigilantem ferrum habere, non aurum.

6. Liban., *Orat.* XVIII, 296 : Ἀλλὰ γὰρ ἐννοήσας τὴν ἐπιτίμησιν ἣ τῶν ἐν τῇ σκηνῇ δακρυόντων καθήψατο (scil. ὁ Ἰουλιανός), καὶ νῦν αὐτὸν ἡγοῦμαι τὴν ἐν τῷ θρήνῳ μερίδα τοῦ λόγου μέμψασθαι.

7. *Ibid.*, XV, 54 : Ἀναμνήσθητι τοῦ σαυτοῦ (scil. τοῦ Ἰουλιανοῦ) νόμου τοῦ περὶ τῶν ψευδομένων· ἂν ψεύσηται, φησίν, ἅπαξ τῶν ἐμοί τις ὁμιλούντων, οἴσω· κἂν δεύτερον ἴσα τολμήσῃ, καὶ τοῦτο ἀνέξομαι· κἂν ἁλῷ τρίτον οὐ τἀληθῆ λέγων, οὔπω μεμίσηται· προστιθεὶς δὲ τέταρτον ἐξελήλαται.

8. Socrat., III, 14, 7 : Οἱ μέντοι κατὰ τὰς ἐπαρχίας ἄρχοντες ... πέρα τῶν βασιλικῶν προσταγμάτων τοὺς Χριστιανοὺς κακῶς διετίθεσαν, χρήματα μὲν πλείονα ἢ ἐχρῆν εἰσπραττόμενοι, ἔστι δὲ ὅτε καὶ σωματικὰς τιμωρίας προσάγοντες. 8. Ταῦτα μανθάνων ὁ βασιλεὺς (scil. Ἰουλιανὸς) περιεώρα, καὶ τοῖς Χριστιανοῖς περὶ τούτου προσελθοῦσιν αὐτῷ· « ὑμέτερόν ἐστιν », ἔλεγεν αὐτοῖς, « πάσχοντας κακῶς ὑπομένειν· τοῦτο γὰρ τοῦ ὑμετέρου θεοῦ παράγγελμα (cf. I Petr. 2, 20) ».

9. Philostorg., p. 94, adn. ad v. 4 sq. ed. Bidez : « Ἀλλ' οὐ χαρήσονται τούτοις ἐπιτωθάζοντες καὶ χλευάζοντες τὰ ἡμέτερα (dicit Iulianus de Christianis)· ἐγὼ γὰρ ἀπαιτήσω τὴν ὑπὲρ τούτου ποινὴν ἑβδομηκοντάκις ἑπτά, καθὼς φασι τὰ ὑμέτερα λόγια (*Gen.* 4, 24) ».

10. Davidis *Prolegomena philosophiae*, Πρᾶξις ια' (CAG, XVIII, 2, p. 32, 28 ed. A. Busse) : Οὕτως οὖν καὶ τοῦ σώματος κακοχύμου ὄντος καὶ ἀνεπιτηδείου πρὸς τὸ δέξασθαι τὰς ψυχικὰς ἀρετάς, εὐλόγως τις ἀναιρεῖ ἑαυτὸν

βουλόμενος τῆς νόσου ἀπαλλαγῆναι· ὅθεν καί τις Κυνικὸς φιλόσοφος ἡμίξηρος ὢν προσῆλθεν Ἰουλιανῷ τῷ βασιλεῖ λέγων αὐτῷ ταῦτα·

Ἥμισύ μου τέθνηκε, τὸ δ' ἥμισυ δέρκεται ἠώς (l. ἠῶ?)·
οἴκτειρον, βασιλεῦ, Κυνικὸν ἡμίτομον,

τοῦτ' ἔστιν « κέλευσον ἢ ἵνα περιοδευθῶ ἢ ἵνα φονευθῶ ». Ὁ δὲ εἶπε πρὸς αὐτόν·

Ἀμφοτέρους ἀδικεῖς, καὶ Πλουτέα καὶ Φαέθοντα,
τὸν μὲν ἔτ' εἰσορόων, τοῦ δ' ἀπολειπόμενος.

Cf. praeterea Ammian. Marc., XXII, 3, 8; 4, 9; 9, 10 sq.; 9, 17; 10, 5; Ps. Aurel. Victor, *Epit.*, 43, 4; Liban., *Orat.* I, 125; XV, 52 et 70 sq.; XVI, 50; XVIII, 163, 181 et 242; Malal., p. 333, 4 sq. ed. Bonn.; Socrat., III, 1, 21 et 50 et III, 12, 2; Zonar., XIII, 10, 24 sq. et 13, 30; Zosim., III, 9, 4 et 25, 3.

---

4 sq. cf. *Anthol. Palat.* IX, 137: Γραμματικοῦ τινος ἡμιξήρου πρὸς Ἀδριανὸν τὸν βασιλέα· « Ἥμισύ μου τέθνηκε, τὸ δ' ἥμισυ λιμὸς ἐλέγχει· σῶσόν μου, βασιλεῦ, μουσικὸν ἡμίτομον ». Πρὸς ὃν ὁ βασιλεὺς Ἀδριανὸς ἀπεκρίνατο· « Ἀμφοτέρους ἀδικεῖς etc. ut supra v. 8 sq.

IV

EPISTULAE SPURIAE VEL DUBIAE

180-187

Spurias esse has octo epistulas nemo nunc negare possit (cf. F. Cumont, *Sur l'authenticité de quelques lettres de Julien*, Gand, 1889, et J. Bidez, *Le philosophe Jamblique et son école*, *Rev. Études grecques*, XXXII, 1919, p. 29 sq.). Scriptae sunt ab ignoto quodam rhetore qui, postquam Damasci vixerat (cf. infra v. 27 sq.), in urbe Syriae Apamea Iamblichi discipulus et Sopatri amicus fuit (p. 246, 1 sq.; cf. p. 244, 20 sq.), dein inter aulicos imperatoris admissus est (p. 252, 1 sq.; cf. p. 244, 19), Constantini scilicet, quem in partes Occidentis secutus esse videtur (p. 238, 4 sq. et 14; 248, 23 sq., etc.). Postea cum eo principe a Pannonia superiore Chalcedonem venit et Nicomediae consedit, ubi per proximos annos commoratus est (p. 244, 13 sq. et 238, 9 sq.). Harum epistularum revera auctorem fuisse Iulianum Caesariensem sophistam, Aedesii aequalem (cf. Suid., *s. v.* Ἰουλιανός, et Eunap., *Vit. Soph.*, p. 482 sq.), opinati sumus, confusa esse nomina Iuliani Caesaris et Iuliani Caesariensis suspicantes : sed haec mera coniectura est. Iuliani cuiusdam mentionem faciens, scriptor eum sibi homonymum esse non dicit (p. 244, 20). Cf. etiam p. 243, 2 (πατρίδα γαῖαν).

180 [ep. 24].

Scripta esse videtur haec epistula, qua caricas centum (cf. p. 229, 9 sq.) « viro clarissimo » (p. 229, 7) mittit auctor, dum, studiis vacans, Damasci moratur (p. 232, 3 sq.; cf. p. 229, 9). — Sarapio Alexandrinus rhetor, discipulus

Plotini (Porphyr., *De vita Plotini*, 7), vix esse potest hic vir senatorius. — Similis argumenti epistulam invenies in *Rev. de Philol.*, II, 1847, p. 200 sq. (*Éloge de la pomme et du nombre six, au sujet d'un envoi de six pommes; fragment inédit, extrait du ms. 352 de la Bibliothèque Royale* [Paris. Suppl. Gr. 352, s. XIII, f. 151 sq.], *et communiqué par* A.-J.-H. Vincent).

Ἰουλιανὸς Σαραπίωνι τῷ λαμπροτάτῳ. 390 b

Ἄλλοι μὲν ἄλλως τὰς πανηγύρεις νομίζουσιν, ἐγὼ δὲ ἡδύ σοι γλυκείας ἑορτῆς σύνθημα τῶν ἐπιχωρίων ἰσχάδων τὰς μακροκέντρους ἑκατὸν ἐκπέμπω, τῷ μὲν τοῦ δώρου μεγέθει c μικράν, τῷ κάλλει δὲ ἴσως ἀρκοῦσαν ἡδονὴν μνηστεύων. Ἀριστοφάνει μὲν οὖν δοκεῖ πλὴν μέλιτος εἶναι τῶν ἄλλων γλυκύτερον τὰς ἰσχάδας, καὶ οὐδὲ τοῦτ᾽ ἀνέχεται τῶν ἰσχάδων εἶναι γλυκύτερον, ὥς αὐτὸς ἐπικρίνας λέγει. Ἡροδότῳ δὲ ἄρα τῷ συγγραφεῖ πρὸς ἐπίδειξιν ἐρημίας ἀληθοῦς ἤρκεσεν εἰπόντι « παρ᾽ οἷς οὔτε σῦκά ἐστιν οὔτε ἄλλο ἀγαθὸν οὐδέν », ὥσπερ οὔτε ἄλλου τινὸς ἐν καρποῖς ἀγαθοῦ d προτέρου τῶν σύκων ὄντος, οὔτε ἔτι πάντως ἀγαθοῦ δέον τινὸς παρ᾽ οἷς ἂν ᾖ τὸ σῦκον.

Ὅμηρος δὲ ὁ σοφὸς τὰ μὲν ἄλλα τῶν καρπῶν εἰς μέγεθος ἢ χρόαν ἢ κάλλος ἐπαινεῖ, μόνῳ δὲ τῷ σύκῳ τὴν τῆς γλυκύτητος ἐπωνυμίαν συγχωρεῖ, καὶ τὸ μέλι μὲν χλωρὸν καλεῖ, δεδιὼς μὴ λάθῃ γλυκὺ προσειπὼν ὃ καὶ πικρὸν εἶναι

---

12 sq. Aristophan. *Fr.* 586/587 Kock. Cf. Athen. XIV 652 F ‖ 14 sq. Herodot. I 71. Cf. Athen. III 78 E ‖ 20 sq. Homer. η 116 et λ 590 ‖ 22 sq. *ibid.* Λ 631 et κ 234; cf. υ 69; Α 249; Σ 109 etc.

U Ald.

8 ἄλλως Hertlein : ἄλλοις U Ald., quod defendit Reiske : « subaudi δώροις » ‖ πανηγύροις U ‖ 9 [τὰς] Hertlein ‖ 10 μακροκέντους U Ald., corr. Petau ‖ 12 εἶναι πλὴν μέλιτος transp. Ald. ‖ τῶν ἄλλων om. U ‖ 17 ὥσπερ : ὡς ἄρ᾽ Hertlein ‖ [ἀγαθοῦ] P. Thomas ‖ 18 ἔτι Ald. : ἔχει U ‖ 18/19 δέον τινὸς scripsimus : δέοντος Ald. om. U ἐνδέοντος Reiske δέον τοῖς Hertlein ‖ 19 ᾖ Hertlein : καὶ U om. Ald. <ᾖ> καὶ Hercher ‖ 22 τὸ μὲν μέλι transp. Ald. ‖ 23 ὃ : ᾧ Reiske

391 πολλαχοῦ συμβαίνει. τῷ σύκῳ δὲ ἄρα μόνῳ ἀποδίδωσι τὴν οἰκείαν εὐφημίαν, ὥσπερ τῷ νέκταρι, διότι καὶ μόνον γλυκὺ τῶν ἄλλων ἐστί. Καὶ μέλι μὲν Ἱπποκράτης φησὶ καὶ γλυκὺ τὴν αἴσθησιν καὶ πικρὸν εἶναι πάντως τὴν ἀνάδοσιν, καὶ οὐκ ἀπιστῶ τῷ λόγῳ· χολῆς γὰρ αὐτὸ ποιητικὸν εἶναι ξύμπαντες ὁμολογοῦσι καὶ τρέπειν τοὺς χυμοὺς εἰς τοὐναντίον τῆς γεύσεως, ὃ δὴ καὶ μᾶλλον τῆς ἐκ φύσεως αὐτοῦ
b πικρότητος κατηγορεῖ τὴν γένεσιν· οὐ γὰρ ἂν εἰς τοῦτο μετέβαλλεν ὃ πικρόν ἐστιν, εἰ μὴ καὶ πάντως αὐτῷ προσῆν ἐξ ἀρχῆς τοῦτο, ἀφ' οὗ πρὸς τὸ ἕτερον μετέπιπτε. Σῦκον δὲ οὐκ αἰσθήσει μόνον ἡδύ, ἀλλὰ καὶ ἀναδόσει κρεῖττόν ἐστιν· οὕτω δέ ἐστιν ἀνθρώποις ὠφέλιμον, ὥστε καὶ ἀλεξιφάρμακον αὐτὸ παντὸς ὀλεθρίου φαρμάκου φησὶν Ἀριστοτέλης εἶναι, κἂν τοῖς δείπνοις οὐκ ἄλλου τινὸς ἢ τούτου χάριν τῶν ἐδεσμάτων προπαρατίθεσθαί τε καὶ ἐπιτραγηματί-
c ζεσθαι, καθάπερ ἀντ' ἄλλης τινὸς ἀλεξήσεως ἱερᾶς ταῖς τῶν βρωμάτων ἀδικίαις περιπτυσσόμενον. Καὶ μὴν ὅτι καὶ θεοῖς τὸ σῦκον ἀνάκειται καὶ θυσίας ἐστὶν ἁπάσης ἐμβώμιον, καὶ ὅτι παντὸς λιβανωτοῦ κρεῖττον ἐς θυμιάματος σκευασίαν ἐστίν, οὐκ ἐμὸς ἴδιος οὗτος ὁ λόγος, ἀλλ' ὅστις

---

2 cf. Homer. Α 598 | 4 sq. cf. Galen. *De fac. alim.* III 39 (VI p. 740 ed. Kühn) || 12 sq. Aristot. *Fr.* 105 Rose || 20 cf. p. 264, 17 etc.
*3 γλυκὺ — 8 τὴν γένεσιν Suidas *s. v.* Μέλι || 12/13 ὅτι τὸ σῦκον ἀλεξιφάρμακόν ἐστι καὶ μόνον *ibid. s. v.* Σῦκον.

V[incipit 2 διότι] U Ald.

3 Ἱπποκράτης φησὶ Ald. : ἱππο....φ.σι V ἱππο......... U || 3 καὶ γλυκὺ — 4 ἀνάδοσιν : τοῦτο γλυκὺ μέν ἐστι τὴν αἴσθησιν, πικρὸν δὲ τὴν ἀνάδοσιν Suidas, unde γλυκὺ μὲν εἶναι τὴν αἴσθησιν, πικρὸν δὲ πάντως τὴν ἀνάδοσιν Hercher || 4 καί[1] Ald. : ἢ cod. || 4/5 καὶ οὐκ Ald. :.....κ VU || 5 ποιητικὸν — 6 ὁμολογοῦσι : φασὶ ποιητικὸν εἶναι Suidas || ξύμπαντες (σύμπαντες Ald.) ὁμολογοῦσι U Ald. : ξύμπαν.ες . μολογοῦσι V || 7 καὶ U Ald. : κ... V || 13 φαρμάκου Martinius : φάρμακον cod. || 14 κἂν Hercher : καὶ cod. || 15 προτίθεσθαί τε cod., corr. Hercher || 17/18 καὶ θεοῖς Hertlein :.....οις VU θεοῖς Ald.

τὴν χρείαν αὐτοῦ ἔμαθεν, οἶδεν ὡς ἀνδρὸς σοφοῦ καὶ ἱεροφάντου λόγος ἐστί. Θεόφραστος δὲ ὁ καλὸς ἐν γεωργίας παραγγέλμασι τὰς τῶν ἑτεροφύτων δένδρων γενέσεις ἐκτι- d
θεὶς καὶ ὅσα ἀλληλούχοις ἐγκεντρίσεσιν εἴκει, πάντων, οἶμαι, τῶν φυτῶν μᾶλλον ἐπαινεῖ τῆς συκῆς τὸ δένδρον ὡς ἄν τι ποικίλης καὶ διαφόρου γενέσεως δεκτικὸν καὶ μόνον τῶν ἄλλων εὔκολον παντοίου γένους ἐνεγκεῖν βλάστην, εἴ τις αὐτοῦ τῶν κλάδων ἐκτεμὼν ἕκαστον, εἶτα ἐκρήξας ἄλλην ἐς ἄλλο τῶν πρέμνων ἐμφυῆ γονὴν ἐναρμόσειεν, ὡς ἀρκεῖν ἤδη πολλάκις αὐτοῦ καὶ ἀνθ' ὁλοκλήρου κήπου τὴν ὄψιν, 392
οἷον ἐν λειμῶνι χαριεστάτῳ ποικίλην τινὰ καὶ πολυειδῆ τῶν καρπῶν ἀφ' ἑαυτοῦ τὴν ἀγλαΐαν ἀντιπεπομφότος. Καὶ τὰ μὲν ἄλλα τῶν ἀκροδρύων ἐστὶν ὀλιγοχρόνια καὶ τὴν μονὴν οὐκ ἀνέχεται, μόνῳ δὲ τῷ σύκῳ καὶ ὑπερενιαυτίζειν ἔξεστι καὶ τῇ τοῦ μέλλοντος καρποῦ γενέσει συνενεχθῆναι, ὥστε φησὶ καὶ Ὅμηρος ἐν Ἀλκινόου κήπῳ τοὺς καρποὺς ἀλλήλοις ἐπιγηράσκειν· ἐπὶ μὲν <οὖν> τῶν ἄλλων b
ἴσως ἂν μῦθος ποιητικὸς εἶναι δόξειε, μόνῳ δὲ τῷ σύκῳ πρὸς τὸ τῆς ἀληθείας ἐναργὲς ἂν συμφοροῖτο, διότι καὶ μόνον τῶν ἄλλων καρπῶν ἐστι μονιμώτερον.

Τοιαύτην δὲ ἔχον, οἶμαι, τὸ σῦκον τὴν φύσιν, πολλῷ κρεῖττόν ἐστι παρ' ἡμῖν τὴν γένεσιν, ὡς εἶναι τῶν μὲν ἄλλων φυτῶν αὐτὸ τιμιώτερον, αὐτοῦ δὲ τοῦ σύκου τὸ παρ' ἡμῖν θαυμασιώτερον, καὶ νικᾶν μὲν αὐτὸ τῶν ἄλλων τὴν γένεσιν, αὖθις δὲ ὑπ' αὐτοῦ τοῦ παρ' ἡμῖν ἡττᾶσθαι, καὶ c

5 sq. cf. *Geoponic.* X 76, 8 || 16 sq. Homer. η 120 sq.

V [U Ald.]

3 παραγγέλμασι cod., corr. Martinius || 3/4 ἐντιθεὶς cod., corr. Martinius || 4 ὅσα — εἴκει Sintenis et Hercher : ὅσαι — εἴκουσι cod. || 5 ἄν τι Ald : ἀντὶ cod. ; [τι] Hercher || 9 ἐμφυᾶ Hercher || ἀρκεῖν Ald. : ἀρκ... VU || 17 <οὖν> Ald. || 19 συμφέροιτο Hercher || 20 νομιμώτερον cod., corr. Martinius || 22 <τὸ> παρ' ἡμῖν <ἔχον> Hercher || 25 ὑπ' αὐτοῦ τοῦ Ald. : ὑπ' αὐτοῦ πρὸς τὸ cod.

τῇ πρὸς ἑκάτερον ἐγκρίσει πάλιν σώζεσθαι, κρατοῦντι μὲν ἐοικός, οἷς δ' αἰ κρατεῖσθαι δοκεῖ, πάλιν ἐς τὸ καθόλου νικῶντι. Καὶ τοῦτο οὐκ ἀπεικότως παρ' ἡμῖν μόνοις συμβαίνει· ἔδει γάρ, οἶμαι, τὴν Διὸς πόλιν ἀληθῶς καὶ τὸν τῆς Ἑῴας ἁπάσης ὀφθαλμὸν (τὴν ἱερὰν καὶ μεγίστην Δαμασκὸν λέγω) τοῖς τε ἄλλοις σύμπασιν, οἷον ἱερῶν κάλλει καὶ νεὼν
d μεγέθει καὶ ὡρῶν εὐκαιρίᾳ καὶ πηγῶν ἀγλαΐᾳ καὶ ποταμῶν πλήθει καὶ γῆς εὐφορίᾳ νικῶσαν, μόνην ἄρα καὶ τῷ τοιούτῳ φυτῷ πρὸς τὴν τοῦ θαύματος ὑπεροχὴν ἀρκέσαι. Οὐδὲν οὖν ἀνέχεται γῆς μεταβολὴν τὸ δένδρον οὐδὲ ὑπερβαίνει τοὺς ἐπιχωρίους ὅρους τῆς βλάστης, ἀλλ' ὥσπερ αὐτόχθονος φυτοῦ νόμῳ τὴν ἐξ ἀποικίας γένεσιν ἀρνεῖται. Καὶ χρυσὸς μέν, οἶμαι, καὶ ἄργυρος ὁ αὐτὸς πολλαχοῦ φύεται, μόνη δὲ ἡ παρ' ἡμῖν χώρα τίκτει φυτὸν ἀλλαχοῦ φῦναι μὴ δυνάμε-
393 νον. Ὥσπερ δὲ τὰ ἐξ Ἰνδῶν ἀγώγιμα καὶ οἱ Περσικοὶ σῆρες, ἢ ὅσα ἐν τῇ Αἰθιόπων γῇ τίκτεται μὲν καὶ λέγεται, τῷ δὲ τῆς ἐμπορίας νόμῳ πανταχοῦ διαβαίνει, οὕτω δὴ καὶ τὸ παρ' ἡμῖν σῦκον, ἀλλαχοῦ τῆς γῆς οὐ γινόμενον, πανταχοῦ παρ' ἡμῶν στέλλεται, καὶ οὔτε πόλις οὔτε νῆσός ἐστιν, ἣν οὐκ ἐπέρχεται τῷ τῆς ἡδονῆς θαύματι, ἀλλὰ καὶ τράπεζαν βασιλικὴν κοσμεῖ, καὶ παντὸς δείπνου σεμνόν ἐστιν ἐγκαλ-
b λώπισμα, καὶ οὔτε ἔνθρυπτον οὔτε στρεπτὸν οὔτε νεήλατον οὔτε ἄλλο καρυκείας γένος οὐδὲν ἔσται ἥδυσμα ἴσον ᾗ ἀφίκοιτο· τοσοῦτον αὐτῷ τῶν τε ἄλλων ἐδεσμάτων καὶ δὴ καὶ τῶν ἑκασταχοῦ περίεστι τοῦ θαύματος. Καὶ τὰ μὲν ἄλλα τῶν

20 cf. p. 255, 5 sq. || 22 cf. Demosth. XVIII, 260.

V [U Ald.]

2 ἐοικός Horkel: ὡς εἰκὸς cod. || 5 Ἑῴας Ald.: .ῴας V...U || 6 ἄλλοις σύμπασιν Ald.: α....ς ..πασιν V..... ἅπασιν U || 7 εὐκρασίᾳ Cobet || 10 γῆς μεταβολὴν scripsimus: τῆς μεταβολῆς cod. [τῆς] μεταβολῆς Hercher | τοὺς Ald.: τῆς cod. | 16 λέγεται cod.: τρέφεται Hertlein; an συλλέγεται? | 17 δὴ: δὲ Hertlein || 17 et 18 πανταχῇ vel πανταχόσε Hercher πανταχοῖ Hertlein || 23 ᾗ scripsimus: ἢ cod.; an οἷ <ἂν> ἀφίκηται?

σύκων ἢ ὀπωρινὴν ἔχει τὴν βρῶσιν ἢ τερσαινόμενα ἐς τὸ ταμεῖον ἔρχεται, τὸ δὲ παρ᾽ ἡμῖν μόνον ἀμφοτερίζει τῇ χρείᾳ, καὶ καλὸν μέν ἐστιν ἐπιδένδριον, πολλῷ δὲ κάλλιον, εἰ ἐς τὴν τερσιὰν ἔλθοι. Εἰ δὲ καὶ τὴν ὥραν αὐτοῦ τὴν ἐν c τοῖς δένδροις ὀφθαλμῷ λάβοις, καὶ ὅπως ἑκάστου τῶν πρέμνων ἐπιμήκεσι τοῖς κέντροις οἱονεὶ καλύκων δίκην ἀπήρτηται, ἢ ὅπως ἐν κύκλῳ περιθεῖ τῷ καρπῷ τὸ δένδρον, ἄλλας ἐπ᾽ ἄλλαις ἐν στοίχῳ περιφερεῖ πολυειδεῖς ἀγλαΐας μηχανώμενον, φαίης ἂν αὐτὸ καθάπερ ἐν ὅρμῳ δέρης τὰς *** <Ἡ δὲ> τῶν δένδρων ἐξαίρεσις αὐτοῦ καὶ ἡ πρὸς χρονίαν μονὴν ἐπιτέχνησις οὐκ ἐλάττονα τῆς ἐς τὴν χρείαν ἡδονῆς d ἔχει τὴν φιλοτιμίαν· οὐ γὰρ ὥσπερ τὰ ἄλλα τῶν σύκων ὁμοῦ καὶ κατὰ ταὐτὸν ἔρριπται, οὐδὲ καθάπερ σωρηδὸν ἢ χύδην ἡλίῳ τερσαίνεται, ἀλλὰ πρῶτον μὲν ἠρέμα τῶν δένδρων αὐτὰ ταῖς χερσὶν ἀποδρέπουσιν, ἔπειτα ὅρπηξιν ἢ ῥάβδοις ἀκανθώδεσι τῶν τοίχων ἀπαρτῶσιν, ἵνα λευκαίνηται μὲν ἡλίῳ καθαρῷ προσομιλοῦντα, μένῃ δὲ ἀνεπιβούλευτα τῶν ζῴων καὶ τῶν ὀρνιθίων, οἱονεὶ τῶν κέντρων τῇ ἀλεξήσει δορυφορούμενα.

Καὶ περὶ μὲν γενέσεως αὐτοῦ καὶ γλυκύτητος καὶ ὥρας 394 καὶ ποιήσεως καὶ χρείας ταῦτά σοι παρ᾽ ἡμῶν ἡ ἐπιστολὴ

---

14 sq. cf. *Geoponic.* X 54. Columell. XII 15 21 sq. cf. p. 265, 6.

V [V^d U Ald.]

2 ταμεῖον P. Thomas: ὅμοιον cod. || μόνον ἀμφοτερίζει Ald. : μ... ἀμφ...ρίζει V.......... ρίζει U || 4 εἰ ἐς τὴν — ἔλθοι Hertlein: εἰ ἐσ .. τερσίαν ..θοι V εἰ ἐσ............ U εἰ ἐς τερσίαν ἔλθοι Ald. || τερσείαν Reiske || 5 καὶ Ald. : ... VU || 7 ἀπήρτηται Heyler : ἀπήρτηνται V ἀπήρτηνται Ald. ἐπήρτηνται U || τῶ καρπῶ cod. ; an ὁ καρπός? || τὸ δένδρον Ald. : τὸ δένδρον V τὸ δένδρω U | 8 ἐπ᾽ ἄλλοις cod. μετ᾽ ἄλλας Ald., corr. Hercher || στοίχῳ Martinius : τοίχω cod. 9 αὐτῷ Ald. || δέρρησ cod., corr. Martinius || 9/10 τὰς *** < Ἡ δὲ > τῶν δένδρων ἐξαίρεσις scripsimus: τὰς τῶν δένδρων ἐξαιρέσεισ cod. τὰς τῶν δένδρων ἐξαρτήσεις Martinius || 15 αὐτὰ Hercher : αὐτὸ cod. || 16/17 λευκαίνηται Ald. : λευκαίνητ.. V λευκαίνη... U | 18 καὶ τῶν V^dU :.... V τε καὶ Ald. || 20 περὶ supra μὲν script. cod. || αὐτῶν Ald.

προσπαίζει· ὅ γε μὴν τῶν ἑκατὸν ἀριθμὸς ὡς ἔστι τῶν ἄλλων
τιμιώτερος καὶ τὸ τέλεον ἐν αὐτῷ τῶν ἀριθμῶν περιγράφων,
μάθοι ἄν τις θεωρῶν τῇδε. Καὶ οὐκ ἀγνοῶ μὲν ὡς παλαιῶν καὶ
σοφῶν ἀνδρῶν ὁ λόγος, τοῦ ἀρτίου τὸν περιττὸν προκεῖσθαι,
b οὐδὲ ὡς ἀρχήν φασιν αὐξήσεως εἶναι τὸ μὴ συνδυάζον· τὸ
γὰρ ὅμοιον θατέρῳ μένειν ὁποῖον καὶ τὸ ἕτερον, δυοῖν δὲ
γενομένοιν τὸν τρίτον εἶναι τὴν περιττότητα· ἐγὼ δέ, εἰ
καὶ τολμηρότερος ὁ λόγος ἐστί, φαίην <ἂν> ὅμως· ἀρχῆς
μέν εἰσιν οἱ ἀριθμοὶ πάντως ἐξηρτημένοι, καὶ τὸ προσεχὲς
τῆς αὐξήσεως δι....... κομίζοιντο· πολλῷ γε μὴν οἶμαι
δικαιότερον τῷ ἀρτίῳ μᾶλλον ἢ τῷ περιττῷ τὴν τῆς αὐ-
ξήσεως αἰτίαν προσκεῖσθαι. Ὁ μὲν γὰρ εἷς ἀριθμὸς οὐκ ἂν
c εἴη περιττός, οὐκ ἔχων ὅτου περιττὸς γένοιτο· ἡ δὲ τῆς
δυάδος συζυγία τίκτει διπλῆν τὴν περιττότητα, κἀκ τῶν
δυοῖν ἀριθμῶν ὁ τρίτος εἰκότως εἰς αὔξησιν ἔρχεται. Πά-
λιν τε ἐν τῇ τῆς ἑτέρας δυάδος μίξει τῆς τετράδος τὴν
ὑπεροχὴν λαμβάνει, καὶ ὅλως ἡ πρὸς ἄλληλα κοινωνία τὴν
ἐξ ἑκατέρου περιττότητα φαίνουσα εἰς τὸν τῆς δυάδος
ἀριθμὸν περικλείεται.

Δεδομένου δὴ τούτου, φαίην ἄν, οἶμαι, τῆς πρώτης δεκά-
δος τὴν εἰς αὐτὸ περιφέρειαν ἀνακυκλούσης εἰς τὸν τῆς
d ἑκατοντάδος ἀριθμὸν τὸ ὅλον διαβαίνειν, ὡς τῷ μὲν ἑνὶ
τὴν αὔξησιν ἂν εἰς δέκα συντείνειν, πάλιν δὲ αὖ τὴν δε-

---

2 cf. Philo *De mut. nominum* 1 p. 578 et 607 ed. Mangey || **3** sq. cf. p. 253, 20; 264, 18 etc. || **4** sq. cf. Stob. *Ecl.* I pr. 10, p. 22, 6 sq. ed. Wachsmuth, etc. || **20** sq. cf. Iamblich. *Theolog. arithm.* p. 59, 32 sq. ed. Ast, etc.

V [U Ald.]

3 ἀγνοῶ Ald. : ἀγνοῶν cod. || **5/6** τὸ γὰρ ὅμοιον Ald. : τὸ γ... μοιον V τὸ ....μοιον U || **7** τὸν τρίτον εἶναι τὴν Ald. : τὸν τρίτον .... τὴν V U || **8** <ἂν> Heyler || **10** δ....... V δι .... U διὰ παντὸς Ald. || οἶμαι Hertlein : εἶναι cod. || **11** περιττῷ Ald. : ...... V ... U || **13** περιττός[1] Ald. : περι .... V U || **14** διπλῆν Ald. : δι.... V U || περιττότητα Ald. : ..ριττότητα V ...., U || **16** τῇ Ald. : τε cod. || **17** τὴν Ald. U : τῇ V || **18** φαίνεται in φαίνουσα corr. cod. || **20** τούτου Ald. : τοῦτο cod. || **21** an εἰς αὐτὴν? | **23** δέκα U Ald. : δέον V in δέκα corr. manus posterior

κάδα δι' αὐτῆς ἀνιοῦσαν εἰς τὸν <τῶν> ἑκατὸν ἀριθμὸν συντελεῖσθαι· κἀντεῦθεν αὖ πάλιν ἐξ ἑκατοντάδων τὸ ὅλον τῶν ἀριθμῶν τὴν δύναμιν καρποῦσθαι, μήτε τοῦ ἑνὸς ἠρεμοῦντος, εἰ μή τι τῆς δυάδος ἐν τῇ μίξει τὸ περιττὸν ἀεὶ τικτούσης τε καὶ εἰς ἑαυτὴν αὖθις ἀνακαλουμένης, ἄχρις ἂν ἑτέρᾳ πάλιν ἑκατοντάδι τῶν ἀριθμῶν τὸ συναγόμενον κατακλείσῃ, καὶ τὸ τέλεον αὐτῷ προσάπτουσα πάλιν ἐξ αὐτοῦ πρὸς τὸ ἕτερον ἑρπύσῃ, ταῖς τῶν ἑκατοντάδων ἐπηγορίαις 395
ἀεὶ τὸ ὅλον εἰς τὸ τῆς καταλήψεως ἄπειρον ἀναφέρουσα.

Δοκεῖ δέ μοι καὶ Ὅμηρος οὐχ ἁπλῶς οὐδὲ ἀργῶς ἐν τοῖς ἔπεσι τὴν ἑκατονταθύσανον αἰγίδα τῷ Διὶ περιθεῖναι, ἀλλά τινι κρείττονι καὶ ἀπορρήτῳ λόγῳ τοῦτο αἰνίττεσθαι λέγων, ὡς ἄρα τῷ τελεωτάτῳ θεῷ τὸν τελεώτατον ἀριθμὸν περιάψειε καὶ ᾧ μόνῳ παρὰ τοὺς ἄλλους ἂν δικαιότερον κο- b
σμοῖτο, ἢ ὅτι τὸν ξύμπαντα κόσμον, ὃν εἰς αἰγίδος σχῆμα τῷ τῆς εἰκόνος περιφερεῖ [καὶ] ξυνείληφεν, οὐκ ἄλλος πως ἢ ὁ τῶν ἑκατὸν ἀριθμὸς περιγράφει, τῇ κατὰ κύκλον ἑκατοντάδι τὴν ἐς τὸ ὅλον τοῦ νοητοῦ κατανόησιν ἐφαρμόττων. Ὁ δ' αὐτὸς λόγος οὗτος καὶ τὸν ἑκατοντάχειρα, τὸν Βριάρεω, καθίζει πάρεδρον τῷ Διὶ καὶ πρὸς τὴν τοῦ πατρὸς ἁμιλλᾶσθαι c
συγχωρεῖ δύναμιν, οἷον ἐν τῷ τοῦ ἀριθμοῦ τελέῳ τὸ τέλεον αὐτῷ τῆς ἰσχύος ἀποδιδούς. Καὶ μὴν καὶ Πίνδαρος ὁ Θηβαῖος, τὴν ἀναίρεσιν τὴν Τυφωέως ἐν ἐπινικίοις κηρύττων καὶ τὸ τοῦ μεγίστου τούτου γίγαντος κράτος τῷ με-

---

10 sq. cf. Homer. B 448; Δ 167 etc. || **19** sq. cf. Homer. A 402 sq. || **22** sq. cf. Pindar. *Ol.* IV 7; *Pyth.* I 16 et VIII 16, et *Fr.* 93.

V [U Ald.]

1 <τῶν> Hercher; cf. v. 17 et p. 234, 1 || **7** αὐτοῦ U Ald.: ..τοῦ V || **9** ὅλον Ald.: ὅ.ον V .... U || **11** ἑκατονθύσανον cod., corr. Ald. || **13** τὸν τελεώτατον ἀριθμὸν Hercher: τὸ τέλεον τῶν ἀριθμῶν cod. || **16** καὶ om. Ald.; uncis inclusimus || **17** τῶν ἑκατὸν U Ald.: τῶν .... ὸν V || **18** τοῦ Ald.: ... VU || **19** βριάρεω Ald.: βριάρρεω U .ριάρεω V || **21** συγχωρεῖ U Ald.: ..γχωρεῖ V || **22** ἀποδιδούς U Ald.: .ποδιδούς V || **23** τυφοέως cod., corr. Ald. || ἐν Ald.: .ν V.. U

γίστῳ βασιλεῖ τῶν θεῶν περιτιθείς, οὐχ ἑτέρωθεν αὐτῷ τῆς εὐφημίας κρατύνει τὴν ὑπερβολὴν ἢ ὅτι τὸν γίγαντα τὸν ἑκατοντακέφαλον ἑνὶ βλήματι καθελεῖν ἤρκεσεν, ὡς οὔτε τινὸς ἄλλου εἰς χεῖρα τοῦ Διὸς ἐλθεῖν ἀντιμάχου
d γίγαντος νομισθέντος ἢ ὃν ἡ μήτηρ μόνον τῶν ἄλλων ἑκατὸν κεφαλαῖς ὥπλισεν, οὔτε ἑτέρου τινὸς θεῶν ἢ μόνου Διὸς ἀξιονικοτέρου πρὸς τὴν τοῦ τοσούτου γίγαντος καθαίρεσιν ὄντος.

• Σιμωνίδῃ δὲ ἄρα τῷ μελικῷ πρὸς τὴν Ἀπόλλωνος εὐφημίαν ἀρκεῖ τὸν θεὸν Ἕκατον προσειπόντι καὶ καθάπερ ἀντ᾽ ἄλλου τινὸς ἱεροῦ γνωρίσματος αὐτοῦ τὴν ἐπωνυμίαν κοσμῆσαι, διότι τὸν Πύθωνα, τὸν δράκοντα, βέλεσιν ἑκα-
396 τόν, ὥς φησιν, ἐχειρώσατο, καὶ μᾶλλον αὐτὸν Ἕκατον ἢ Πύθιον χαίρειν προσαγορευόμενον, οἷον ὁλοκλήρου τινὸς ἐπωνυμίας συμβόλῳ προσφωνούμενον. Ἥ γε μὴν τὸν Δία θρεψαμένη νῆσος, ἡ Κρήτη, καθάπερ τροφεῖα τῆς Διὸς ὑποδοχῆς ἀντιλαβοῦσα τῷ τῶν ἑκατὸν πόλεων ἀριθμῷ τετίμηται. Καὶ Θήβας δὲ ἄρα τὰς ἑκατονταπύλους οὐκ ἄλλου τινὸς ἢ τούτου χάριν ἐπαινεῖ Ὅμηρος, διότι ταῖς πύλαις ταῖς ἑκατὸν κάλλος ἦν θαυμαστόν. Καὶ σιωπῶ θεῶν ἑκα-
b τόμβας καὶ νεὼς ἑκατονταπέδους καὶ βωμοὺς ἑκατοντακρή-

9 sq. Simonid. *Fr.* 26 || 9 sq. cf. p. 229, 15 sq. et 253, 10 sq. etc. || 16 sq. Homer. Β 649 || 18 sq. cf. p. 263, 10 || 19 sq. Homer. Ι 383.
*9 sq. Eustath. *Iliad.* Α 75, p. 52. Tzetzes *In Iliad.* p. 117, 17 sq.

V [V^d U Ald.]

2 τὴν U Ald. : ... V || 4 τοῦ Διὸς ἐλθεῖν ἀντιμάχου Ald. : τ......... ἐπιμάχου V ....μάχου U || 5/6 ἑκατὸν κεφαλαῖς ὥπλισεν Ald. : ἑκα..........λισεν V U || 7 πρὸς τὴν τοῦ τοσούτου V^d : προς.......σούτου V πρὸς......τοσούτου U πρὸς ταύτην τοσούτου Ald. || 9 τῷ μελικῷ πρὸς τὴν Ald. : τῶ μελ... πρὸς τὴν V τῶ με...... πρὸς τὴν U || 14 ὁλοκλήρου Hercher: ὀκλήρου V^d ὀκλήρου, λο supra scripto sed atramento nunc obducto, V ὀκλήρου U κλήρου Ald. || 20 ἑκατὸν U Ald. : .κατ.. V || 21 νεὼς Hercher : νεοὺς cod. ναοὺς Ald. || ἑκατονταπέδους Ald. : ἑκατονπέδους V^d ἑκατονπε.... V ἑκατοντέδους U, an ἑκατομπέδους? || 21 sq. ἑκατον κρήπιδας cod., corr. Ald.

πιδας καὶ τοὺς ἑκατονταδόχους ἀνδρῶνας, καὶ τὰς ἀρούρας δὲ τὰς ἑκατονταπλέθρους, καὶ ὅσα ἄλλα θεῖά τε καὶ ἀνθρώπινα τῇ τοῦ ἀριθμοῦ τοῦδε προσηγορίᾳ συνείληπται. Ὅ γε μὴν ἀριθμὸς οὗτος οἶδε καὶ στρατιωτικὴν ὁμοῦ καὶ εἰρηνικὴν τάξιν κοσμῆσαι, καὶ φαιδρύνει μὲν τὴν ἑκατόντανδρον λοχαγίαν, τιμᾷ δὲ ἥδε καὶ δικαστῶν ἐς τὸ ἴσον ἤκουσαν ἐπωνυμίαν.

Καί με καὶ πλείω τούτων ἔχοντα λέγειν ὁ τῆς ἐπιστολῆς C ἐπιστρέφει νόμος· σὺ δὲ ἀλλὰ συγγνώμην ἔχειν τῷ λόγῳ, διότι καὶ ταῦτα πλείω τῶν ἱκανῶν εἴρηται. Καὶ εἰ μὲν ἔχει μέτριον ὑπὸ σοὶ κριτῇ κάλλος τὸ ἐγχείρημα, πάντως καὶ πρὸς τοὺς ἄλλους ἔκφορον ἔσται, τῆς παρὰ σοῦ ψήφου τὴν μαρτυρίαν δεξάμενον· εἰ δὲ καὶ χειρὸς ἑτέρας προσδεῖται πρὸς τὸ τοῦ σκοποῦ συμπλήρωμα, τίς ἂν σοῦ κάλλιον εἰδείη τὴν γραφὴν εἰς κάλλος ἀκριβώσαντος πρὸς τὴν τῆς θέας ἡδονὴν ἀπολαῦσαι;

181 [ep. 61].

Haec epistula, qua post longam peregrinationem nuntiat scriptor se Nicomediam pervenisse, manifesto prima est earum quas Iamblicho se misisse refert (infra, ep. 184, p. 244, 15 sq.).

---

10 sq. cf. p. 260, 9 sq. || **12** sq. cf. p. 252, 14 sq.

V [U Ald.]

1 ἑκατονταδόκους ? Hertlein || **5** μὲν U : μ.. V om. Ald. || **6** an τιμᾶν δὲ οἶδε ? || ἤκουσαν Ald. : ἤκ.... V U || **9** ἐπιστρέφει Ald. : ἐπιστ..... V U ; an ἀποστρέφει ? || ἔχειν cod. : ἔχε Hercher, sed cf. p. 249, 23 sq. || **10** ἱκανῶν U Ald. : ἱ..... V || **11** ὑπὸ : ἐπὶ Hercher || κάλλος Sintenis : καλὸν cod. || πάντως Ald. : πάν ... V πάνυ U || **13** εἰ δὲ — **14** συμπλήρωμα om. U || **13** εἰ δὲ καὶ scripsimus : εἰ δὲ in fine versus, margine abscisso, ita ut aliquid ante χειρὸς deesse videatur V εἰ δὲ ... (« καὶ videtur exesum ») V[d] εἰ δὲ Ald. || **14** κάλλιον εἰδείη Hertlein : καλλι ... εἴη V U (στ′ supra) καλλίων εἴη Ald. || **15** ἀκριβω VU ἀκριβώσαντος Ald. ἀκριβώσας ? Hertlein || **16** ἀπολαῦσαι U Ald. : ἀπολαῦσα . V ἀποδοῦναι P. Thomas ἀπολεῦναι ? Hertlein

448 d Ἰουλιανὸς Ἰαμβλίχῳ φιλοσόφῳ.

Ἱκανὴν ὁμολογῶ τῆς σῆς ἀπολείψεως ἐκτετικέναι δίκην
οὐ μόνον οἷς παρὰ τὴν ἀποδημίαν συνηνέχθην ἀνιαροῖς,
449 ἀλλὰ γὰρ καὶ αὐτῷ τούτῳ πλέον, ὅτι σου τὸν τοσοῦτον
ἀπελείφθην χρόνον, καίτοι πολλαῖς καὶ ποικίλαις πανταχοῦ χρησάμενος τύχαις, ὡς μηδὲν ἀπείρατον καταλιπεῖν.
Ἀλλὰ καὶ πολέμων θορύβους καὶ πολιορκίας ἀνάγκην καὶ
φυγῆς πλάνην καὶ φόβους παντοίους, ἔτι δὲ καὶ χειμώνων
ὑπερβολὰς καὶ νόσων κινδύνους καὶ τὰς ἐκ Παννονίας τῆς
ἄνω μέχρι τοῦ κατὰ τὸν Καλχηδόνιον πορθμὸν διάπλου
μυρίας δὴ καὶ πολυτρόπους συμφορὰς ὑπομείνας, οὐδὲν
b οὕτω δυσχερὲς οὐδὲ λυπηρὸν ἐμαυτῷ συμβεβηκέναι φαίην
ἂν ἢ ὅτι σέ, τὸ κοινὸν τῶν Ἑλλήνων ἀγαθόν, ἐπὶ τοσοῦτον
χρόνον τὴν Ἑῴαν ἀπολιπὼν οὐκ εἶδον· ὥστ᾿ εἴπερ ἀχλύν
τινα τοῖς ἐμοῖς ὀφθαλμοῖς ἔτι καὶ νέφος πολὺ περικεῖσθαι
λέγοιμι, μὴ θαυμάσῃς. Τότε γὰρ ἤδη μοι καὶ ἀὴρ εὔδιος καὶ
φέγγος ἡλίου λαμπρότερον καὶ οἷον ἔαρ ἀληθῶς τοῦ βίου
περιήξει κάλλιστον, ὅταν σέ, τὸ μέγα τῆς οἰκουμένης
c ἄγαλμα, περιπτύξωμαι καί, καθάπερ ἀγαθῷ πατρὶ παῖς

14 sq. cf. p. 249, 17 sq.

BΔ = r L W Q

1 ἰουλιανόσ ἰαμβλίχω L ἰαμβλίχω φιλοσόφω W ἰαμβλίχω r ἰουλιανόσ αὐτοκράτωρ ἰαμβλίχω φιλοσόφω Q ‖ 2 σῆς om. W ‖ 3 ἀνιαροῖς συνηνέχθην (συνέχθην Δ) transp. r ‖ 4 γὰρ om. Q ‖ αὐτὸ τοῦτο L ‖ πλέον om. W Q ‖ 5/6 πανταχοῦ : πάντων L ‖ 6 τύχαις : νόσοισ, τύχαισ supra scripto, r ‖ 7 ἀνάγκασ L ‖ 8 δὲ καὶ W : δὲ cett. ‖ χειμῶνοσ L ‖ 9 τὰς : τὰ Q ‖ Παννονίας Petau : πανονίασ r πανωνίασ Q παιονίασ LW; cf. p. 244, 13 ‖ 10 καλχηδόνιον L : καρχηδόνιον WQ καλχηδόνα B χαλκηδόνα Δ; cf. p. 244, 14 sq. ‖ διάπλουν L ‖ 12 οὐδὲν λυπηρόν συμβέβηκε W ‖ 12 οὐδὲ — 13 ὅτι σε τό : ἡγησάμην · τὸ γὰρ Q ‖ 13 ἢ codd. : ὡς Hercher ‖ 13/14 ἐπὶ τοσούτω χρόνω r ‖ 14 τὴν — ἀπολιπὼν om. W ‖ ἀπολιπὼν Horkel : ἀπολιπὸν Q ἀπολεῖπον rL sed in ἀπολείπων corr. r ‖ 15 ἔτι om. WQ ‖ πολὺ om. Q ‖ 16 ἤδη LW : δή r Q ‖ 17 λαμπρότατον Hercher

γνήσιος ἐκ πολέμου τινὸς ἢ διαποντίου κλύδωνος ἀνελπίστως ὀφθείς, εἶτα ὅσα ἔπαθον καὶ δι' ὅσων ἦλθον κινδύνων εἰπὼν καὶ οἷον ἐπ' ἀγκύρας ἱερᾶς τινος ὁρμιζόμενος, ἀρκοῦσαν ἤδη τῶν ἀλγεινῶν παραψυχὴν εὕρωμαι. Παραμυθεῖται γάρ, ὡς εἰκός, καὶ ἐπικουφίζει τὰς συμφοράς, ὅταν τις ἃ πέπονθεν εἰς τοὺς ἄλλους ἔκφορα καθιστὰς διανείμῃ τοῦ πάθους τὴν γνῶσιν ἐν τῇ κοινωνίᾳ τοῦ λόγου. Τέως γ' d
μὴν οἷς ἔχω σε κατὰ δύναμιν τὴν ἐμὴν μέτειμι, καὶ γράφων οὐ παύσομαι καὶ τὸν ἐν μέσῳ τῆς ἀπολείψεως χρόνον ἐν τῷ τῶν γραμμάτων θεραπεύων συνθήματι· εἰ δὲ δὴ καὶ ἀντιτύχοιμι παρὰ σοῦ τῶν ἴσων, ὑφήσω τι καὶ μικρόν, οἷον ἀντὶ σωτηρίου τινὸς συμβόλου τοῖς σοῖς ὁμιλῶν γράμμασι. Σὺ δὲ δέχοιο μὲν εὐμενῶς τὰ παρ' ἡμῶν, παρέχοις δὲ καὶ 450
σεαυτὸν εἰς ἀμοιβὴν εὐμενέστερον, ὡς ὅ τι ἂν σημαίνῃς καλὸν ἢ γράφῃς, τοῦτο ἀντὶ τῆς Ἑρμοῦ λογίου φωνῆς ἢ τῆς Ἀσκληπιοῦ χειρὸς παρ' ἡμῶν κρίνεται.

182 [ep. 67].

Haec ad Sopatrum Apamensem, Iamblichi discipulum et successorem, epistula delata est ab Antiocho quodam, filiorum scriptoris praeceptore, una cum alia nunc deperdita ad Iamblichum epistula (cf. p. 240, 5 sq., et ep. 184, p. 245, 10 sq.).

---

3 cf. Diogen. *Centur.* V 29 || 4 cf. Euripid. *Orest.* 62 || 8 cf. p. 263, 8 || 10 sq. cf. p. 266, 13 || 16 cf. p. 255, 5.

BΔ = r   L   W [desinit 11 ἀντιτύχοιμι]   Q

1 διαποτίου L || 2 ὀφθεὶς cod.; an σωθεὶς? || 2, 3 κινδύνων ἦλθον transp. Q || 3 τινος W : om. cett. || 4 παραψυχὴν τῶν ἀλγεινῶν transp. r || εὕροιμι W Q || 6 καθιστῶν Q καθιστᾶ L || διανέμῃ W διανειμαμένου L || 7 ἐν malit abesse Hertlein, sed cf. infra v. 9 || λόγου LWQ : πάθους B et, λόγου supra scripto, Δ || 8 γράφων rL : γὰρ WQ || 9 [ἐν ²] Hercher, sed cf. supra v. 7 || 10 θεραπεύω L || 13 δὲ : γὰρ L || μὲν om. Q || τὰ παρ' ἡμῶν εὐμενῶς transp. Q || καὶ ante παρέχοις add. B || 14 σημάνῃς Q || 15 γράφεις L γράψῃς Q || 16 παρ' ἡμῖν Q

Ἰουλιανὸς Σω[σι]πάτρῳ.

Ἔστι τις ἡδονῆς ἀφορμὴ πλείων, ὅταν ἐξῇ δι᾽ ἀνδρὸς οἰκείου τοὺς φίλους προσφωνεῖν· οὐ γὰρ μόνον οἷς γράφεις τὸ τῆς ἑαυτοῦ ψυχῆς ἴνδαλμα τοῖς ἐντυγχάνουσι ξυναρμόττῃ. Ὃ δὴ καὶ αὐτὸς ποιῶ· τὸν γὰρ τροφέα τῶν ἐμαυτοῦ παίδων Ἀντίοχον ὡς ὑμᾶς ἐκπέμπων, ἀπρόσρητόν σε καταλιπεῖν οὐκ ἠνεσχόμην, ὥστε, εἴ τι τῶν καθ᾽ ἡμᾶς ποθεῖς, ἔχοις ἂν οἰκειότερον παρ᾽ αὐτοῦ γνῶναι. Εἰ δέ τι καὶ σοὶ μέλει τῶν σῶν ἐραστῶν, ὡς ἔγωγε ὅτι μέλει πιστεύω, δείξεις ἐν οἷς ἂν ἐξῇ γράφειν μηδαμῶς ἐλλείπων.

183 [ep. 60].

Ex ep. 184, p. 245, 14 sq. (cf. p. 241, 7 sq.) apparet hanc epistulam eam esse qua respondit scriptor Iamblichi litteris sibi a Sopatro allatis.

446 c

Ἰαμβλίχῳ.

Ἦλθες καὶ †ἐποίησας† (ἦλθες γὰρ δὴ καὶ ἀπὼν οἷς

---

2 sq. cf. p. 265, 14 sq. || **4** cf. p. 245, 20 || **5** sq. cf. p. 245, 11 || **8** sq. cf. p. 248, 6 sq. || **16** sq. cf. p. 256, 14 | **16** sq. cf. *Suppl. lyric.* ed. Diehl 1917 p. 40.

[**1-10**] L — [**15** sq.] B L

1 σωσιπάτρῳ cod., revera Σωπάτρῳ: cf. p. 245, 15 sq., et p. 249, 15 || **4** ἑαυτοῦ cod.: σεαυτοῦ Hercher || **9** μέλλει (bis) cod., corr. Fabricius; cf. p. 248, 6 sq. || **10** ἐξῆν cod., corr. Heyler

15 ἰαμβλίχῳ L: τῷ αὐτῷ (scil. Iamblicho) B || **16** καὶ ἐποίησας codd.: κάλ᾽ ἐπόησας Wilamowitz; an καὶ ἐπτοίησας? vel potius καί μ᾽ ἐπτόασας (cf. Saph. *Fr.* 2, 6)? « videtur » enim « fragmentum Sapphonis esse » Reiske, et revera praebent haec metrum (πεντάμετρον τεσσαρεσκαιδεκασύλλαβον Hephaest. 7) libri secundi

γράφεις), ἐγὼ δέ σε μαόμαν, ἂν δ᾽ † ἐφύλαξας † ἐμὰν
φρένα καιομέναν πόθῳ. Οὔκουν οὔτε ἀρνοῦμαι τὸ
φίλτρον οὔτε ἀπολείπω σε κατ᾽ οὐδέν, ἀλλὰ καὶ ὡς παρόντα
τῇ ψυχῇ θεωρῶ, καὶ ἀπόντι σύνειμι, καὶ οὐδὲν ἱκανόν ἐστί
μοι πρὸς κόρον ἀρκέσαι. Καίτοι σύ γε οὐκ ἀνίης καὶ παρόντας d
εὖ ποιῶν ἀεὶ καὶ ἀπόντας οὐκ εὐφραίνων μόνον οἷς γράφεις,
ἀλλὰ καὶ σώζων. Ὅτε γοῦν ἀπήγγειλέ μοί τις ἔναγχος ὡς
παρὰ σοῦ γράμματα κομίσας ἑταῖρος ἥκοι, ἐτύγχανον μὲν ἐν
ἀηδίᾳ τοῦ στομάχου τριταῖος ἤδη καθεστὼς καί τι καὶ πε-
ριαλγῶς ἔχων τοῦ σώματος, ὡς μηδὲ ἔξω πυρετοῦ μεῖναι·
σημανθὲν δέ, ὡς ἔφην, ὅτι μοι πρὸς ταῖς θύραις ὁ τὰ γράμ- 447
ματα ἔχων εἴη, ἐγὼ μὲν ὥσπερ τις ἀκρατὴς ἑαυτοῦ καὶ κάτο-
χος ἀναπηδήσας ᾗξα πρὶν ὅ τι δέοι παρεῖναι. Ἐπεὶ δὲ καὶ
ἔλαβον εἰς χεῖρας τὴν ἐπιστολὴν μόνον, ὀμνύω τοὺς θεοὺς
αὐτοὺς καὶ τὸν ἐπὶ σοί με ἀνάψαντα Πόθον, ὡς ἅμα τε
ἔφυγον οἱ πόνοι καί με καὶ ὁ πυρετὸς ἀνῆκεν εὐθύς, ὥσπερ
τινὶ τοῦ σωτῆρος ἐναργεῖ παρουσίᾳ δυσωπούμενος. Ὡς δὲ
καὶ λύσας ἀνέγνων, τίνα με ἡγῇ ψυχὴν ἐσχηκέναι τότε, ἢ b
πόσης ἡδονῆς ἀνάπλεων γεγενῆσθαι, τὸν φίλτατον, ὡς φῄς,
ἀνέμων, τὸν ἐρωτικὸν ἀληθῶς, τὸν διάκονον τῶν καλῶν
ὑπερεπαινοῦντά τε καὶ φιλοῦντα δικαίως, ὅτι μοι τῶν παρὰ
σοῦ γραμμάτων ὑπηρέτης γέγονεν, οἱονεὶ πτηνοῦ δίκην

3 sq. cf. p. 261, 8 ‖ **6** cf. p. 254, 23 sq. et 263, 15 ‖ **13** sq. cf. p. 245, 15 sq.

B L

1 μαόμαν — **2** πόθῳ om., spatio duodecim litterarum vacuo relicto, L ‖ **1** μαόμαν scripsimus : μὰ ὤμαν cod. ‖ ἂν δὲ φύλαξας cod. : ἂν δ᾽ ἔφλεξας Wesseling ἂν δ᾽ ἔφλυξας Wilamowitz ἂν δ᾽ ἔψυξας? P. Thomas ‖ **2** οὐκοῦν codd., corr. Petau ‖ **2/3** οὔτε — οὔτε Hercher : οὐδὲ — οὐδὲ codd. ‖ **3** σε om. L ‖ **4** οὐδένα L ‖ **7** ὡς <ὁ> P. Thomas ‖ **9** καί τι Hercher : καίτοι codd. ‖ **12** ἑαυτοῦ Hertlein : ἐμαυτοῦ codd. ‖ καὶ om. L ‖ **13** ᾗξα Heyler : ἦξα codd. ; cf. p. 245, 16 ‖ ὅτι codd. : ὅτε « *quam cum oporteret adesse* » Reiske ‖ **17** τινα — ἐναργῆ παρρησία δυσωπούμενος L ‖ **20** ἀνέμων Hertlein : ἂν ἐμὲ codd. : cf. Sophocl. *Philoct.* 237

ἡμῖν τὴν ἐπιστολὴν διευθύνας οὐρίῳ τε καὶ πομπίμῳ πνεύ-
c ματι, δι᾽ ἧς οὐ μόνον ὑπῆρξεν ἡσθῆναί μοι τὰ εἰκότα περὶ
σοῦ γνόντι, ἀλλὰ καὶ αὐτῷ κάμνοντι παρὰ σοῦ σωθῆναι;
Τά γε μὴν ἄλλα πῶς ἄν, ἃ πρὸς τὴν ἐπιστολὴν ἔπαθον,
εἴποιμι ἄν, ἢ πῶς ἂν ἀρκούντως ἐμαυτοῦ τὸν ἔρωτα καταμη-
νύσαιμι; ποσάκις ἀνέδραμον εἰς ἀρχὴν ἐκ μέσου, ποσά-
κις ἔδεισα μὴ πληρώσας λάθω, ποσάκις ὥσπερ ἐν κύκλῳ
τινὶ καὶ στροφῆς περιόδῳ τοῦ συμπεράσματος τὸ πλήρωμα
d πρὸς τὴν ἀρχὴν ἀνεῖλκον, οἷον ἐν ᾄσματι μουσικῷ ταὐτὸν
τοῦ ῥυθμοῦ τῷ τέλει τὸ πρὸς τὴν ἀρχὴν ἡγούμενον μέλος
ἀντιδιδούς· ἢ καὶ νὴ Δία τὰ ἑξῆς τούτων, ὁσάκις μὲν τῷ
στόματι τὴν ἐπιστολὴν προσήγαγον, ὥσπερ αἱ μητέρες τὰ
παιδία προσπλέκονται, ὁσάκις δὲ ἐνέφυν τῷ στόματι, καθά-
περ ἐρωμένην ἐμαυτοῦ φιλτάτην ἀσπαζόμενος, ὁσάκις
δὲ τὴν ἐπιγραφὴν αὐτήν, ἣ χειρὶ σῇ καθάπερ ἐναργεῖ
448 σφραγῖδι σεσήμαντο, προσειπὼν καὶ φιλήσας, εἶτα ἐπέ-
βαλον τοῖς ὀφθαλμοῖς, οἱονεὶ τοῖς τῆς ἱερᾶς ἐκείνης
δεξιᾶς δακτύλοις ἐν τῷ τῶν γραμμάτων ἴχνει προσπεφυ-
κώς.

Χαῖρε δὲ καὶ αὐτὸς ἡμῖν πολλά, καθάπερ ἡ καλὴ
Σαπφώ φησι, καὶ οὐκ ἰσάριθμα μόνον τῷ χρόνῳ ὃν ἀλλή-
λων ἀπελείφθημεν, ἀλλὰ γὰρ καὶ ἀεὶ χαῖρε, καὶ γράφε, καὶ
μέμνησο ἡμῶν τὰ εἰκότα, ὡς ἡμᾶς γε οὐκ ἐπιλείψει χρό-
b νος, ἐν ᾧ σε μὴ πάντα καὶ ἐν παντὶ καιρῷ καὶ λόγῳ διὰ

4 sq. cf. p. 245, 6 sq. **12** sq. et **16** sq. cf. p. 245, 18 || **20** sq. cf. *Suppl. lyric.* ed. Diehl 1917 p. 40.

B L

1 τὴν ἐπιστολὴν B: τὸν τὴν ἐπιστολὴν κομίζοντα L || ποτίμῳ L || **5** ἂν² om. L || **9** ἀνεῖλκον Petau: ἀνέλκων codd. || **11** et **13** ποσάκις malit Hercher || **13** προσέλκονται aut περιπλέκονται Hertlein || ἐνέφυν Reiske: ἐνεφύει L ἀνεφύη B || **14** ἀσπαζομένου B || **15** ὑπογραφὴν L || **16** ἐσεσήμαντο Hercher || **16/17** ἀπέβαλλον L ὑπέβαλον? Heyler || **18** [ἐν] Hertlein || ἴσχνει L || **20** δὲ B: δὴ L || **22** γὰρ om. L || **23** ὑμᾶς L || ἐπιλείψει: ἐπιβλέψει aut καταλήψεται Reiske || **24** πάντα B: πάντως L

μνήμης ἕξομεν * * ἀλλήλων. Εἰ δέ ποθι Ζεὺς δοίη ἱκέσθαι ἐς πατρίδα γαῖαν καί σου τὴν ἱερὰν ἐκείνην ἑστίαν αὖθις ὑπέλθοιμεν, μὴ φείσῃ λοιπὸν ὡς φυγάδος. ἀλλὰ δῆσον, εἰ δοκεῖ, πρὸς τοῖς σεαυτοῦ θώκοις τοῖς φιλτάτοις, ὥσπερ τινὰ Μουσῶν λειποτάκτην ἑλών, εἶτα τοῖς εἰς τιμωρίαν ἀρκοῦσι παιδεύων. Πάντως οὐδὲ ἄκων ὑποστήσομαι τὴν δίκην, ἀλλ᾽ ἑκὼν δὴ καὶ χαίρων, ὥσπερ ἀγαθοῦ πατρὸς ἐπανόρθωσιν προμηθῆ καὶ σωτήριον. Εἰ <δὲ> δή μοι καὶ c
κατ᾽ ἐμαυτοῦ τὴν κρίσιν ἐθέλοις πιστεῦσαι καὶ διδοίης ἐνεγκεῖν ἣν βούλομαι, ἐμαυτόν, ὦ γενναῖε, τῷ σῷ χιτωνίσκῳ προσάψαιμι ἂν ἡδέως, ἵνα σου κατὰ μηδὲν ἀπολειποίμην, ἀλλὰ συνείην ἀεὶ καὶ πανταχῇ προσφεροίμην, ὥσπερ οὓς οἱ μῦθοι διφυεῖς ἀνθρώπους πλάττουσιν· εἰ μὴ κἀκεῖνο οἱ μῦθοι λέγουσι μὲν ὡς παίζοντες, αἰνίττονται δὲ εἰς τὸ τῆς φιλίας ἐξαίρετον, ἐν τῷ τῆς κοινωνίας δεσμῷ τὸ δι᾽ ἑκατέρου τῆς ψυχῆς ὁμογενὲς ἐμφαίνοντες. d

184 [ep. 40].

In hac epistula (p. 244,15-246,5) ea quae in prioribus scripserat rhetor accurate commemorat.

Ἰουλιανὸς Ἰαμβλίχῳ. 413 b

Αἰσθάνομαί σου τῆς ἐν τῇ μέμψει γλυκύτητος, καὶ ὡς c

1 sq. cf. Homer. Z 526 sq. et η 76 sq., etc.

B LY[Y incipit 11 ἀπολειποίμην] = g — [20 sq.] C L E QS

1 ἀλλήλων εἰ δὲ L ἀλλήλων δὲ B ἀλλ᾽ ἡμῖν εἰ Hertlein; lacunam significavimus || δοίη L || 3 φυγάδα L || 4 σεαυτοῦ Hercher: σαυτοῦ L ἑαυτοῦ B || καὶ post θώκοις add. L || 5 λιποτάκτην Hercher || εἰς om. L || 6 οὐδὲ Hercher: οὔτε codd. || 7 καὶ om. L || 8 <δὲ> Reiske, cf. p. 239, 10 etc. || 9 ἐθέλεις L || διδοίης Hertlein: δίδως codd. || 12 ἀλλὰ — προσφεροίμην om. g || περιφεροίμην Pricaeus || 13 κἀκεῖνοι g
20 ἰουλιανὸς ἰαμβλίχῳ LQ : ἰαμβλίχῳ ἰουλιανὸς S ἰαμβλίχῳ C τῷ αὐτῷ (scil. Iamblicho) E

ἑκάτερον ἐξ ἴσου πράττεις, καὶ οἷς γράφεις τιμῶν, καὶ οἷς
ἐγκαλεῖς παιδεύων. Ἐγὼ δέ, εἰ μέν τι συνῄδειν ἐμαυτῷ τοῦ
πρός σε γιγνομένου καὶ κατὰ μικρὸν ἐλλείψαντι, πάντως
ἢ [τὰς] προφάσεις εὐλόγους εἰπὼν ἐπειρώμην ἂν ὡς ἐνῆν
τὴν μέμψιν ἐκκλίνειν, ἢ συγγνώμην ἁμαρτὼν αἰτεῖν οὐκ
<ἂν> ἠρνούμην, ἐπεὶ μηδὲ ἄλλως ἀσύγγνωστον οἶδά σε
d πρὸς τοὺς σούς, εἴ τι τῶν πρός σε φιλικῶν ἐξήμαρτον
ἄκοντες· νῦν δὲ (οὐ γὰρ ἦν οὔτε σὲ παροφθῆναι θέμις,
οὔτε ἡμᾶς ἀμελεῖν ἵνα τύχοιμεν ὧν ἀεὶ ζητοῦντες ποθοῦ-
μεν) φέρε σοι καθάπερ ἐν ὅρῳ γραφῆς ἀπολογήσωμαι, καὶ
δείξω μηδὲν ἐμαυτὸν ὧν ἐχρῆν εἰς σὲ παριδεῖν, ἀλλὰ μηδὲ
μελλῆσαι τολμήσαντα.

Ἦλθον ἐκ Παννονίας ἤδη τρίτον ἔτος τουτί, μόλις ἀφ᾽
417 ὧν οἶσθα κινδύνων καὶ πόνων σωθείς. Ὑπερβὰς δὲ τὸν Καλ-
χηδόνιον πορθμὸν καὶ ἐπιστὰς τῇ Νικομήδους πόλει, σοὶ
πρώτῳ καθάπερ πατρίῳ θεῷ τὰ πρωτόλεια τῶν ἐμαυτοῦ
σώστρων ἀπέδωκα, σύμβολον τῆς ἀφίξεως τῆς ἐμῆς οἷον
ἀντ᾽ ἀναθήματος ἱεροῦ τὴν εἰς σὲ πρόσρησιν ἐκπέμπων.
Καὶ ἦν ὁ κομίζων τὰ γράμματα τῶν βασιλείων ὑπασπιστῶν
b εἷς, Ἰουλιανὸς ὄνομα, Βακχύλου παῖς, Ἀπαμεὺς τὸ γένος,
ᾧ διὰ τοῦτο μάλιστα τὴν ἐπιστολὴν ἐνεχείριζον, ὅτι καὶ

---

16 sq. cf. ep. 181, p. 238 sq.

C L E [**1**—**12**] QS

1 ἐξίσου CLE: εὐρίπου QS || **3** γενομένου L || [κατὰ] P. Thomas || ἐλλείψαντι: cf. p. 246, 10 || **4** [τὰς] Hercher; an τινας? || εὐλόγως LQS || **4/5** ἂν ὡς ἐνῆν τὴν restituimus: ὡσ ἐνῆν CLE ἂν τὴν QS || **5** ἁμαρτὼν Ald.: ἁμαρτὰν E ἁμαρτόντα CL om. QS || **6** <ἂν> P. Thomas || **7** πρὸσ σὲ CLE: σῶν S om. Q || **8** οὐ: οὐδὲ L || οὔτε: οὔτι L || σὲ om. C || **9** τύχωμεν L || ὧν: ὃν E ὃ S om. Q || ἀεὶ: ἂν QS || **10** ἀπολογήσομαι CLE || **11/12** μὴ δὲ μελῆσαι E μηδ᾽ ἀμελῆσαι QS || **12** post τολμήσαντα Q addit τὸ πλεῖστον τῆσ ἐπιστολῆσ λείπει· ζήτει || **13** πανονίασ codd., corr. Martinius || **14/15** χαλκηδόνιον LE || **16** πρῶτον LE || προτέλεια L || **18** πρόρρησιν C || **19** τῶν — ὑπασπιστῶν: τῷ βασιλεῖ ὑπασπιστὴσ L || **20** Βακχύλου — γένος om. L

πρὸς ὑμᾶς ἥξειν καί σε ἀκριβῶς εἰδέναι καθυπισχνεῖτο. Μετὰ ταῦτά μοι καθάπερ ἐξ Ἀπόλλωνος ἱερὸν ἐφοίτα παρὰ σοῦ γράμμα, τὴν ἄφιξιν τὴν ἡμετέραν ἀσμένως ἀκηκοέναι δοκοῦντος, ἦν δὲ τοῦτο ἐμοὶ δεξιὸν οἰώνισμα καὶ χρηστῶν ἐλπίδων ἀρχή. Ἰάμβλιχος ὁ σοφὸς καὶ τὰ Ἰαμβλίχου πρὸς c ἡμᾶς γράμματα. Τί με δεῖ λέγειν ὅπως ηὐφράνθην, ἢ ἃ περὶ τὴν ἐπιστολὴν ἔπαθον σημαίνειν; Εἰ γὰρ ἐδέξω τὰ παρ' ἡμῶν ἕνεκα τούτων γραφέντα (ἦν δὲ δι' ἡμεροδρόμου τῶν ἐκεῖθεν ἡκόντων ὡς σὲ πεμφθέντα), πάντως ὁπόσην ἐπ' αὐτοῖς ἡδονὴν ἔσχον ἀφ' ὧν ἐδήλουν γινώσκεις. Πάλιν ἐπανιόντος οἴκαδε τοῦ τροφέως τῶν ἐμαυτοῦ παιδίων, ἑτέρων ἦρχον πρός σε γραμμάτων, ὁμοῦ καὶ τὴν ἐπὶ τοῖς d φθάνουσι χάριν ὁμολογῶν καὶ πρὸς τὸ ἑξῆς ἐν ἴσῳ παρὰ σοῦ τὴν ἀντίδοσιν αἰτῶν. Μετὰ ταῦτα ἐπρέσβευσεν ὡς ἡμᾶς ὁ καλὸς Σώπατρος· ἐγὼ δέ, ὡς ἔγνων, εὐθὺς ἀναπηδήσας ἧξα καὶ περιπλακεὶς ἐδάκρυον ὑφ' ἡδονῆς, οὐδὲν ἄλλο ἢ σὲ καὶ τὰ παρὰ σοῦ πρὸς ἡμᾶς ὀνειροπολῶν γράμματα. Ὡς δὲ ἔλαβον, ἐφίλουν καὶ τοῖς ὀφθαλμοῖς προσῆγον, καὶ ἀπρὶξ εἰχόμην, ὥσπερ δεδιὼς μὴ λάθῃ με ἀποπτὰν ἐν τῇ τῶν γραμμάτων ἀναγνώσει τὸ τῆς σῆς εἰκόνος ἴνδαλμα. 418 Καὶ δὴ καὶ ἀντέγραφον εὐθύς, οὐ πρός σε μόνον, ἀλλὰ γὰρ καὶ πρὸς τὸν ἱερὸν Σώπατρον, τὸν ἐκείνου παῖδα, καθάπερ

---

6 sq. cf. p. 242, 4 sq. || **11** sq. cf. p. 240, 5 sq. || **15** sq. cf. p. 241, 13 sq. || **18** cf. p. 242, 12 sq. et 16 sq. || **20** cf. p. 240, 4 et 259, 15 || **21** sq. cf. ep. 183, p. 240 sq.

C L E [desinit **10** γινώσκεις]

1 ἡμᾶς L || ἥξει E || **2** verba Μετὰ ταῦτα ut alius epistulae initium praebet cum titulo τῷ αὐτῷ (ε' in margine) C || καθάπερ ἐξ Ἀπόλλωνος om. L || **3** ὑμετέραν C || **4** δοκοῦντος C : δηλοῦν LE unde <σε> ἀκηκοέναι δηλοῦν Hercher || δὲ E : τε C om. L || **5** τὰ : τοῦ L || **5/6** πρὸς ἡμᾶς E : τοῦ σοφοῦ L om. C; cf. infra v. 17 || **6** λέγον E || εὐφράνθην E || **8** τούτων E : τούτου CL || δὲ om. E || **9/10** ἡδονὴν ἐπ' αὐτοῖς transp. L || **13** τὸ : τὰ Hercher || **14** ἐπρέσβευεν L || **19** μὴ λάθημαι ἀποσπᾶν ἐν τῇ L || **21** γὰρ scripsimus : γε L om. C; cf. p. 238, 4; 242, 22 etc. || **22** ἱερόν om. L

θρυπτόμενος ὅτι τὸν κοινὸν ἑταῖρον ἐκ τῆς Ἀπαμείας οἷον ἐνέχυρον τῆς ὑμετέρας ἀπουσίας ἀντειληφότες εἴημεν. Ἐξ ἐκείνου δὲ τρίτον ἤδη πρός σε γεγραφώς, αὐτὸς οὐδεμίαν ἄλλην ἢ τὴν ἐν ᾗ μέμφεσθαι δοκεῖς ἐπιστολὴν
b ἐδεξάμην.

Εἰ μὲν δὴ διὰ τοῦτο ἐγκαλεῖς, ἵνα τῷ τῆς αἰτίας σχήματι πλείονας ἡμῖν ἀφορμὰς τοῦ γράφειν προξενῇς, δέχομαι τὴν μέμψιν ἄσμενος πάντως, καὶ ἐν οἷς λαμβάνω τὸ πᾶν τῆς χάριτος εἰς ἐμαυτὸν οἰκειοῦμαι· εἰ δὲ ὡς ἀληθῶς ἐλλείψαντά τι τοῦ πρός σε καθήκοντος αἰτιᾷ, τίς ἂν ἐμοῦ γένοιτ᾽ ἂν ἀθλιώτερος, ἅπαντα μὲν ἀεὶ πράττειν ἀφ᾽ ὧν σοι χαριεῖσθαι μέλλοιμι σπεύδοντος, διὰ γραμματοφόρων δὲ ἀδικίαν ἢ ῥαθυμίαν πάντων ἥκιστα τούτου τυγχάνοντος;
c Καίτοι ἐγὼ μέν, κἂν μὴ πλεονάκις γράφω, δίκαιός εἰμι συγγνώμης παρὰ σοῦ τυγχάνειν, οὐ τῆς ἀσχολίας ἣν ἐν χερσὶν ἔχω φαίην ἄν (μὴ γὰρ οὕτω πράξαιμι κακῶς, ὡς μὴ καὶ ἀσχολίας ἁπάσης, καθά φησι Πίνδαρος, τὸ κατὰ σὲ κρεῖττον ἡγεῖσθαι), ἀλλ᾽ ὅτι πρὸς ἄνδρα τηλικοῦτον, οὗ καὶ μνησθῆναι φόβος, ὁ καὶ γράφειν κατοκνῶν τοῦ γε πλέον ἢ προσήκει θαρροῦντός ἐστι σωφρονέστερος. Ὥσπερ γὰρ οἱ
d ταῖς Ἡλίου μαρμαρυγαῖς ἀντιβλέπειν συνεχῶς τολμῶντες, ἂν μὴ θεῖοί τινες ὦσι καὶ τῶν ἀκτίνων αὐτοῦ καθάπερ οἱ τῶν ἀετῶν γνήσιοι καταθαρρῶσιν, οὔτε ἃ μὴ θέμις ὀφθῆναι

---

10 sq. cf. Tragic. Gr. *Fr. adesp.* 280 Nauck || 17 Pindar. *Isthm.* I 1 sq.; cf. Plat. *Phaedr.* 227 B || 22 sq. cf. p. 260, 3 sq.

C L

1 ὅτι om. L || 3 δὲ τρίτον L : ταύτην C || 7 προξενῇς, η e corr., C προξενεῖς L || 8 πάντως L : πάντων C || 10 τίς ἄρ᾽ ἐμοῦ Nauck || 11 γένοιτ᾽ ἄν, τ᾽ἄν in ras., L || ἅπαντα — 12 σπεύδοντος om. C || 12 μέλλοι μοι cod., correximus || δὲ om. C || 15 ἀσχολίας < ἕνεκα >? || 16 πράξαιμι C : πράξαι μοι L || 17 πάσης L || 19 ὁ καὶ Ald. : ὧ καὶ C ὧ καὶ ὁ L || ὀκνῶν L || τοῦ γε scripsimus : τοῦ γε τοῦ L τοῦ C || 20 ante Ὥσπερ spatium vacuum quatuor fere litterarum C || 23 καταθαρρῶσιν Hercher : καθορῶσιν codd. : cf. p. 247, 3 θαρρεῖν et p. 250, 14

θεωρεῖν ἔχουσι, καὶ ὅσῳπερ μᾶλλον φιλονεικοῦσι, τοσούτῳ πλέον ὅτι μὴ δύνανται τυχεῖν ἐμφαίνουσιν, οὕτω καὶ ὁ πρός σε γράφειν τολμῶν, ὅσῳπερ ἂν ἐθέλῃ θαρρεῖν, τοσούτῳ μᾶλλον ὅτι χρὴ δεδιέναι καθαρῶς δείκνυσι.

Σοί γε μήν, ὦ γενναῖε, παντὸς ὡς εἰπεῖν τοῦ Ἑλληνικοῦ 419 σωτῆρι καθεστῶτι πρέπον ἦν ἀφθόνως τε ὡς ἡμᾶς γράφειν καὶ τὸν παρ' ἡμῖν ὄκνον ἐφ' ὅσον ἐξῆν καταστέλλειν. Ὥσπερ γὰρ ὁ Ἥλιος (ἵνα δὴ πάλιν ἐκ τοῦ θεοῦ πρός σε τὴν εἰκόνα λάβῃ ὁ λόγος), ὁ δ' οὖν Ἥλιος ὥσπερ, ὅταν ἀκτῖσι καθαραῖς ὅλος λάμπῃ, οὐδὲν ἀποκρίνει τοῦ πρὸς τὴν αἴγλην ἐλθόντος ᾧ μὴ τὸ οἰκεῖον ἐργάζεται, οὕτω δὴ καὶ σὲ χρῆν ἀφθόνως τῶν παρὰ σοῦ καλῶν οἷον φωτὸς τὸ Ἑλληνικὸν b ἐπαρδεύοντα μὴ ἀποκνεῖν, εἴ τις ἢ αἰδοῦς ἢ δέους ἕνεκα τοῦ πρός σε τὴν ἀντίδοσιν δυσωπεῖται. Οὐδὲ γὰρ ὁ Ἀσκληπιὸς ἐπ' ἀμοιβῆς ἐλπίδι τοὺς ἀνθρώπους ἰᾶται, ἀλλὰ τὸ οἰκεῖον αὐτοῦ φιλανθρώπευμα καθάπερ † μάθημα † πανταχοῦ πληροῖ. Ὃ δὴ καὶ σὲ χρῆν ὥσπερεὶ ψυχῶν ἐλλόγιμον ἰατρὸν ὄντα ποιεῖν καὶ τὸ τῆς ἀρετῆς παράγγελμα διὰ πάντων σώζειν, οἷον ἀγαθὸν τοξότην, ὅς, κἂν μὴ τὸν ἀντίπαλον c ἔχῃ, πάντως ἐς τὸ καίριον ἀεὶ τὴν χεῖρα γυμνάζει. Ἐπεὶ μηδὲ ὁ σκοπὸς ἑκατέροις ὁ αὐτός, ἡμῖν τε τῶν παρὰ σοῦ δεξιῶν τυχεῖν καὶ σοὶ τοῖς παρ' ἡμῶν διδομένοις ἐντυχεῖν·

---

5 cf. p. 254, 3 et 261, 21 || 9 sq. cf. p. 264, 9 || 14 sq. cf. p. 255, 5.

C [1-7 καταστέλλειν]L

1 ἔχουσι: an ἰσχύουσι? || **2** ὅτι: an ὅτου? || δύνανται Hercher: δύνωνται codd. || οὕτω L : τοῦτο C || **3** ὅσῳπερ < πλέον >? cf. supra v. 1 sq. || ἐθέλειν C || **5** παντὸς — **6** καθεστῶτι om. L || **6** ὡς ἡμᾶς L : ἡμῖν C || **7** παρ' ἡμῶν L || **7** Ὥσπερ — **22** ἐντυχεῖν om. L || **9 10** καθαραῖς Lennep: καθαρθεὶς cod.: cf. p. 264, 9; 233, 17 et 254, 21 || **10** οὐδὲ ἀποκρίνῃ cod., corr. Hertlein || **11** ᾧ μὴ scripsimus: ὃ μὴ cod. ἀλλὰ Hertlein || δὴ cod.: δὲ Hertlein || **15** ἐλπίδι Ald.: ἐλπίσι cod. || **16** αὐτῷ Hercher || μάθημα cod.: an χάρισμα vel ἄσκημα? cf. v. 19 sq. || **17** ἐλλογίμων cod., correximus || **20** γυμνάζει Ald.: γυμνάζειν cod. || **21** τε cod.: δὲ Hertlein || **22** σοὶ Hercher: σε cod.

ἀλλ᾽ ἡμεῖς μέν, κἂν μυριάκις γράφωμεν, ἴσα τοῖς Ὁμηρικοῖς παισὶ παίζομεν, οἳ παρὰ τὰς θῖνας ὅ τι ἂν ἐκ πηλοῦ πλάσωσιν ἀφιᾶσιν αἰγιαλῷ κλύζεσθαι· παρὰ σοῦ δὲ καὶ
d μικρὸν γράμμα παντός ἐστι γονίμου ῥεύματος κρεῖττον, καὶ δεξαίμην ἂν ἔγωγε Ἰαμβλίχου μᾶλλον ἐπιστολὴν μίαν ἢ τὸν ἐκ Λυδίας χρυσὸν κεκτῆσθαι. Εἰ δὲ μέλει τί σοι τῶν ἐραστῶν τῶν σῶν (μέλει δέ, εἰ μὴ σφάλλομαι), μὴ περιίδῃς ὥσπερ νεοττοὺς ἡμᾶς ἀεὶ τῶν παρὰ σοῦ τροφῶν ἐν χρείᾳ τυγχάνοντας, ἀλλὰ καὶ γράφε συνεχῶς καὶ τοῖς παρὰ σαυ-
420 τοῦ καλοῖς ἑστιᾶν μὴ κατόκνει. Κἂν ἐλλίπωμεν, αὐτὸς ἑκατέρου τὴν χρείαν οἰκειοῦ, καὶ ὧν δίδως καὶ ὧν ἀνθ᾽ ἡμῶν τὸ ἴσον πρεσβεύεις. Πρέπει δὲ Ἑρμοῦ λογίου μαθητήν, εἰ δὲ βούλει, τρόφιμον ὄντα σε, τὴν ἐκείνου ῥάβδον οὐκ ἐν τῷ καθεύδειν ποιεῖν, ἀλλ᾽ ἐν τῷ κινεῖν καὶ διεγείρειν μᾶλλον ἐθέλειν μιμεῖσθαι.

185 [ep. 53].

Iamblichi epistulam, cui hic respondet scriptor (cf. p. 249, 1 sq.), nullo modo in ep. 184 significatam reperimus (cf. praesertim p. 246, 3 sq.: Ἐξ ἐκείνου... αὐτὸς οὐδεμίαν ἄλλην ἢ τὴν ἐν ᾗ μέμφεσθαι δοκεῖς ἐπιστολὴν ἐδεξάμην), itaque has litteras post ep. 184 scriptas esse apparet.

438 d Ἰουλιανὸς Ἰαμβλίχῳ φιλοσόφῳ.

Ὦ Ζεῦ, πῶς ἔχει καλῶς ἡμᾶς μὲν ἐν Θρᾴκῃ διάγειν

---

1 sq. Homer. O 362 sq. || 6 sq. cf. p. 240, 8 sq. || 9 sq. cf. p. 253, 5 sq. || 13 sq. cf. Homer. ε 47 sq. et ω 2 sq., et infra p. 251, 13 sq.

[1-15] C L — [22 sq.] E L I

1 ὑμεῖς C || 1/2 τοῖς ὁμηρικοῖς παισὶ C: τοῖς παισὶ τοῖς ὁμηρικοῖς L || 3 [αἰγιαλῷ] Hercher, perperam || 6 et 7 μέλλει L || 6 σοί τι transp. L || 7 σφάλομαι L σφάλωμαι C, corr. Ald. || 8 ἡμᾶς ὥσπερ νεοττοὺς transp. L || 10 ἐλλείπωμεν L || 11 οἰκειοῦ P. Thomas: οἰκείου codd. || 13 <καὶ> τρόφιμον Hercher || τὴν ἐκείνου Hercher: μαθητὴν ἐκείνου C ἐκεῖνον ἢ L

22 ἰουλιανὸς ἰαμβλίχῳ L ἰαμβλίχῳ φιλοσόφῳ E ἰαμβλίχῳ I (ubi Libanii epistulas sine ulla distinctione hae litterae sequuntur)

μέση καὶ τοῖς ἐνταῦθα σιροῖς ἐγχειμάζειν. παρ' Ἰαμβλίχου
δὲ τοῦ καλοῦ καθάπερ ἐῴου τινὸς ἔαρος ἡμῖν τὰς ἐπιστο-
λὰς ἀντὶ χελιδόνων πέμπεσθαι, καὶ μήτε ἡμῖν εἶναι μηδέπω 439
παρ' αὐτὸν ἐλθεῖν, μήτ' αὐτῷ παρ' ἡμᾶς ἥκειν ἐξεῖναι; Τίς
ἂν ἑκὼν εἶναι ταῦτα δέξαιτο, ἐὰν μὴ Θρᾷξ τις ᾖ καὶ Τη-
ρέως ἀντάξιος;

Ζεῦ ἄνα, ἀλλὰ σὺ ῥῦσαι ἀπὸ Θρήκηθεν Ἀχαιούς·
ποίησον δ' αἴθρην, δὸς δ' ὀφθαλμοῖσιν ἰδέσθαι

ποτὲ τὸν ἡμέτερον Ἑρμῆν καὶ τά τε ἀνάκτορα αὐτοῦ προσ- b
ειπεῖν καὶ τοῖς ἕδεσιν ἐμφῦναι, καθάπερ τὸν Ὀδυσσέα
φασίν, ὅτε ἐκ τῆς ἄλης τὴν Ἰθάκην εἶδεν. Ἀλλ' ἐκεῖνον μὲν
οἱ Φαίακες ἔτι καθεύδοντα ὥσπερ τι φορτίον ἐκθέμενοι
τῆς νεὼς ᾤχοντο· ἡμᾶς δὲ οὐδὲ ὕπνος αἱρεῖ, μέχρις ἂν σέ,
τὸ μέγα τῆς οἰκουμένης ὄφελος, ἰδεῖν ἐγγένηται. Καίτοι σὺ
μὲν τὴν Ἑῴαν ὅλην ἐμέ τε καὶ τὸν ἑταῖρον Σώπατρον εἰς c
τὴν Θρᾴκην μετενηνοχέναι προσπαίζεις· ἡμῖν δέ, εἰ χρὴ
τἀληθὲς εἰπεῖν, ἕως ἂν Ἰάμβλιχος μὴ παρῇ, Κιμμερίων
ἀχλὺς συνοικεῖ. Καὶ σὺ μὲν δυοῖν θάτερον αἰτεῖς, ἢ ἡμᾶς
παρὰ σὲ ἥκειν, ἢ αὐτόν σε παρ' ἡμᾶς ἀραμένους ἔχειν·
ἡμῖν δὲ τὸ μὲν ἕτερον εὐκταῖόν τε ὁμοῦ καὶ σύμφορον, d
αὐτοὺς ἐπανελθεῖν ὡς σὲ καὶ τῶν παρὰ σοὶ καλῶν ἀπολαῦ-
σαι· τὸ δὲ ἕτερον εὐχῆς μὲν ἁπάσης κρεῖττον· ἐπεὶ δὲ
ἀδύνατόν σοί γε καὶ ἀξύμφορόν ἐστι, σὺ μὲν οἴκοι μένειν

---

7 sq. cf. Homer. P 645 sq. || 9 cf. p. 252, 5 sq. || 10 sq. cf. Homer. ν 344 et 352 sq. || 11 sq. cf. *ibid.* 117 sq. || 14 cf. p. 255, 12 sq. || 17 sq. cf. p. 238, 14 sq. et Homer. λ 14 sq.

E L I

1 σιροῖς Petau : σύροις codd.; cf. Demosth. VIII 45 et X 16 || 3 ὑμῖν E || 4 ἥξειν E || 7 ἄνα EI (in ἄναξ corr. E²): ἄννα L || σὺ om. EI || ἀπὸ om. L || θράκηθεν I || 9 τὸν ἑρμῆν τὸν ἡμέτερον L || καὶ τά τε E : κατά τε L κατ' (sic) I || 12 ἐνθέμενοι L || 13 σέ Hercher : εἰς codd.; cf. p. 238, 13 || 16 μετενηνοχέναι E || 18 ἢ om. L || μὲν post ἡμᾶς add. E || 21 ὡς EI : πρὸς L || 23 γε om. L || σὺ EI : σοὶ L; cf. p. 237, 9; Synes. *Epist.* L p. 661, 28 ed. Hercher, etc.

καὶ χαίρειν καὶ τὴν ἡσυχίαν ἣν ἔχεις σώζειν, ἡμεῖς δέ, ὅ τι 440 ἂν θεὸς διδῷ, γενναίως οἴσομεν· ἀνδρῶν γὰρ ἀγαθῶν εἶναί φασι τὸ μὲν εὔελπι κεκτῆσθαι καὶ τὰ δέοντα πράττειν, ἕπεσθαι δὲ τοῖς ἀναγκαίοις τοῦ δαίμονος.

186 [ep. 41].

Cum opusculum quoddam a Iamblicho scriptum accepisset rhetor (cf. p. 251, 14: τῷ παρὰ σαυτοῦ λόγῳ et p. 252, 4: ἀντὶ μεγάλων τῶν παρὰ σοῦ), magistro suo invicem orationem mittit, quam imperatore iubente composuerat (cf. p. 252, 1 sq.).

420 b Ἰουλιανὸς Ἰαμβλίχῳ φιλοσόφῳ.

Ἐχρῆν μὲν ἡμᾶς τῷ γράμματι πειθομένους τῷ Δελφικῷ γινώσκειν ἑαυτοὺς καὶ μὴ τολμᾶν ἀνδρὸς ἀκοῆς τοσούτου καταθαρρεῖν, ᾧ καὶ ὀφθεντι μόνον ἀντιβλέψαι δυσχερές, ἤ που τὴν πάνσοφον ἁρμονίαν κινοῦντι πρὸς τὸ ἴσον ἐλθεῖν, c ἐπεὶ καὶ Πανὶ μέλος λιγυρὸν ἠχοῦντι πᾶς ὅστις ἐκσταίη, κἂν Ἀρισταῖος ᾖ, καὶ Ἀπόλλωνι πρὸς κιθάραν ψάλλοντι πᾶς ὅστις ἠρεμοίη, κἂν τὴν Ὀρφέως μουσικὴν εἰδῇ. Τὸ γὰρ ἧττον τῷ κρείττονι, καθ᾽ ὅσον ἧττόν ἐστιν, εἴκοι ἂν δικαίως, εἰ μέλλοι τό τε οἰκεῖον καὶ τὸ μὴ [χεῖρον] τί ἐστι

---

1 sq. cf. Demosth. XVIII 97 || 12 sq. cf. Plat. I *Alcib.* 124 A.
*3 τὸ μὲν — πράττειν *Lexic. Vindob. s. v.* Εὔελπι p. 70 Nauck.

[1-4] E L I—[11 sq.] B C Y[Y 11-14 δυσχερές] L Π A E

1 ἡμεῖς Hertlein : ἡμῖν codd. || 2 γὰρ om. L

11 ἰουλιανὸς ἰαμβλίχῳ φιλοσόφῳ E : ἰουλιανὸς βασιλεὺς ἰαμβλίχῳ φιλοσόφῳ L ἰαμβλίχῳ φιλοσόφῳ ΠΑ τῷ αὐτῷ (scil. Iamblicho) BCY || 12 ἡμᾶς om. Π || τῷ¹ : τὸ B || γράμμασι A || 13 ἀκοῆς B : ἀκοαῖς cett. || 14 καταθαρρεῖν E : καταθαρρεῖ in καταθαρρεῖν corr. C καταθαρσεῖν cett. || ᾧ : ὡς C || μόνον ὀφθέντι transp. E || 15 διελθεῖν B || 16 καὶ : κἂν Lobeck || 17 Ἀρισταῖος : ἄριστος B || 18 ἠρεμοίη B : ἠρεμοῖ ΠΑ ἠρεμεῖ CLE || κἂν : καὶ Π || εἰδῇ B : εἰδείη cett. || 19 ἧττόν : κρεῖττον L || 20 μέλλει L || μὴ E : οὐ cett. || [χεῖρον] Petau

γινώσκειν. Ὅστις δὲ ἐνθέῳ μουσικῇ θνητὸν ἀνθαρμόσαι
μέλος ἤλπισεν, οὐκ ἔμαθέ που τὸ Μαρσύου τοῦ Φρυγὸς πά-
θος, οὐδὲ τὸν ὁμώνυμον ἐκείνῳ ποταμόν, ὃς μανέντος d
αὐλητοῦ τιμωρίαν μαρτυρεῖ, ἀλλ' οὐδὲ τὴν Θαμύρου τοῦ
Θρᾳκὸς τελευτὴν ἤκουσεν, ὃς ταῖς Μούσαις οὐκ εὐτυ-
χῶς ἀντεφθέγξατο. Τί γὰρ δεῖ τὰς Σειρῆνας λέγειν, ὧν ἔτι
τὸ πτερὸν ἐπὶ τοῦ μετώπου φέρουσιν αἱ νικήσασαι; Ἀλλ'
ἐκείνων μὲν ἕκαστος ἀμούσου τόλμης ἀρκοῦσαν ἔτι καὶ νῦν
ἐκτίνει τῇ μνήμῃ δίκην· ἡμᾶς δὲ ἔδει μέν, ὡς ἔφην, εἴσω
τῶν οἰκείων ὅρων ἑστάναι καὶ τῆς ὑπὸ σοῦ μουσικῆς ἐμφο- 421
ρουμένους ἠρεμεῖν, ὥσπερ οἱ τὴν Ἀπόλλωνος μαντείαν ἐξ
ἀδύτων ἱερῶν προϊοῦσαν ἡσυχῇ δέχονται. Ἐπεὶ δὲ αὐτὸς
ἡμῖν τοῦ μέλους τὸ ἐνδόσιμον μνηστεύεις καὶ οἷον Ἑρ-
μοῦ ῥάβδῳ τῷ παρὰ σαυτοῦ λόγῳ κινεῖς καὶ διεγείρεις καθ-
εύδοντας, φέρε σοι, καθάπερ οἱ τῷ Διονύσῳ τὸν θύρσον
κρούσαντι πρὸς τὴν χορείαν ἄνετοι φέρονται, οὕτω καὶ
ἡμεῖς ὑπὸ τῷ σῷ πλήκτρῳ τὸ εἰκὸς ἀντηχήσωμεν, ὥσπερ b
οἱ τῷ χοροστάτῃ πρὸς τὸ ἀνάκλημα τοῦ ῥυθμοῦ συνομαρ-

13 cf. p. 265, 6 sq. ‖ **13** sq. cf. Homer. ε 47 sq. et ω 2 sq., et supra p. 248, 13 sq.
***3** sq. Tzetzes *Chiliad.* I 356 sq.

B C L Π A E

1 ἐνθέῳ B : ἐνθέσμῳ CLΠE ἐνθεσμῷ A ‖ θνητοῦ C ‖ ἀνθαρμόσαι BA : ἀναρμόσαι, ε supra ά scripto, C ἁρμοῦσαι Π ἁρμόσαι LE ‖ **2** που BC : πως LΠAE ‖ τὸ : τοῦ Π ‖ μαρσίου BE ‖ **3** ποταμόν : πορθμόν, ποταμὸν supra scripto, B ‖ **3/4** « f. ποταμόν, ὡς ἐξ μανέντος — ῥεῖ » Reiske ‖ **3** an ὃς <τὴν>? ‖ **4** μαρτυρεῖ Hertlein : ῥεῖ codd. et Tzetzes *l.l.*; cf. infra p. 252, 14 sq. codicum LΠ falsas lectiones ‖ θαμύρου B : θαμύριδος cett. ‖ **5** ἤκουσεν τελευτὴν transp. Π ‖ **6** τὸ σύμβολον τῆς νίκης post ἔτι add. E ‖ **7** τοῦ om. LΠ ‖ **8** ἀρκούσης E ‖ **9** ἐκτίνειν L ‖ δίκην τῇ μνήμῃ transp. E ‖ τὴν δίκην L ‖ **11 12** ἐξ ἀδύτων προσιοῦσαν ἱερῶν L προσιοῦσαν ἐξ ἀδύτων ἱερῶν B ‖ **12** προϊοῦσαν Hertlein : προσιοῦσιν C προσιοῦσαν cett. ‖ **13** τὸ ἐνδόσιμον τοῦ μέλους transp. L ‖ **14** τῷ παρὰ σαυτοῦ λόγῳ B : om. cett., sed ante κινεῖς est rasura unius litterae in E ‖ **14 15** καθεύδοντα L ‖ **15** θύρσου L θύασον C ‖ **16** κρούσαντες E ‖ χορείαν : χρείαν LΠ ‖ an συμφέρονται? P. Thomas

τοῦντες. Καὶ πρῶτόν σοι τῶν λόγων, οὓς βασιλεῖ κελεύσαντι πρὸς τὴν ἀοίδιμον τοῦ πορθμοῦ ζεῦξιν ἔναγχος ἐξειργασάμεθα, ἐπειδή τοῦτό ἐστι τὸ δοκοῦν, ἀπαρξώμεθα, μικρὰ μὲν ἀντὶ μεγάλων τῶν παρὰ σοῦ καὶ τῷ ὄντι χαλκᾶ χρυσῶν ἀντιδιδόντες, οἷς δὲ ἔχομεν ξενίοις τὸν Ἑρμῆν τὸν ἡμέτερον ἑστιῶντες. Πάντως οὐδὲ τῆς Ἑκάλης ὁ Θησεὺς τοῦ
c δείπνου τὸ λιτὸν ἀπηξίωσεν, ἀλλ' ᾔδει καὶ μικροῖς ἐς τὸ ἀναγκαῖον ἀρκεῖσθαι· καὶ ὁ Πὰν δὲ ὁ νόμιος τοῦ παιδὸς τοῦ βουκόλου τὴν σύριγγα προσαρμόσαι τοῖς χείλεσιν οὐκ ἠτίμασεν.

Προσοῦ δὴ καὶ αὐτὸς τὸν λόγον εὐμενεῖ νεύματι, καὶ μὴ ἀποκνήσῃς ὀλίγῳ μέλει μεγάλην ἀκοὴν ἐνδοῦναι, ἀλλ' ἐὰν μὲν ἔχῃ τι δεξιόν, αὐτός τε ὁ λόγος εὐτυχὴς καὶ ὁ ποιητὴς αὐτοῦ, τῆς παρὰ τῆς Ἀθηνᾶς ψήφου τὴν μαρτυρίαν προσ-
d λαβών. Εἰ δέ τι χειρὸς ἐντελοῦς εἰς τὸ τοῦ ὅλου πλήρωμα προσδεῖται, μὴ ἀπαξιώσῃς αὐτὸς τὸ ἐνδέον προσθεῖναι. Ἤδη που καὶ ἀνδρὶ τοξότῃ κληθεὶς ὁ θεὸς παρέστη καὶ συνεφήψατο τοῦ βέλους, καὶ κιθαρῳδῷ τὸν ὄρθιον ᾄδοντι πρὸς τὸ ἐλλεῖπον τῆς χορδῆς ὑπὸ τῷ τέττιγι τὸ ἴσον ὁ Πύθιος ἀντεφθέγξατο.

---

4 sq. cf. Homer. Z 236, et infra p. 264, 19 sq. || 5 sq. cf. p. 248, 9 sq. et 249, 9 || 14 sq. cf. p. 237, 12 sq. || 16 cf. Lucian. *Apol.* 2.

B C Y [Y 3 μικρὰ — 11 νεύματι] L Π A E

1 οὓς : ὡς B || 2 πορθμοῦ : an ποταμοῦ, scil. Danubii ? cf. p. 251, adn. ad v. 3 || τάξιν ante ζεῦξιν add. Π || 3 ἐπεὶ δὲ E || τὸ B : om. cett. σοι Hertlein || μικρὰν Π || 4 τῶν : τοῖς C || χαλκᾶ χρυσῷ A χαλκὸν χρυσοῦ C χρυσᾶ χαλκῶν E || 6 Πάντως — 8 ἀρκεῖσθαι post νεύματι (v. 11) transp. Y || 6 ἑκάλης in ἑκάτης corr. E ἑκάτης BY || 6/7 ὁ Θησεὺς post τὸ λιτὸν transp. Y || τοῦ δείπνου τὸ λιτόν : τὸ ὀλίγον τοῦ δείπνου B || 7 ᾔδη Π ἔδει B || εἰς Y || 8 καὶ ὁ Πὰν — 10 ἠτίμασεν om. Y || 8 ὁ νομεὺς B || τοῦ παιδὸς scil. Daphnidis || 9 τοῦ om. E || 11 Προσοῦ Horkel : πρόσου BCY προσοὺς A πρόσχες LΠE || καὶ αὐτὸς om. Y || τὸν λόγον om. Π || 13 εὐτυχεῖ C || 14/15 τὴν μωρίαν (μορίαν L) παραλαβὼν LΠ || 15 δέ τι B : δ' ἔτι cett. || 18 συνεψηφίσατο A || καὶ : ἐν C || κιθαρῳδῷ scil. Eunomo ; cf. Strab. VI 1, 9, p. 260 C || τὸν : τὸ LΠE

187 [ep. 34].

Cum orationem supra (p. 252, 1 sq.) significatam accepisset Iamblichus, amico suo laudativam epistulam misisse videtur, qua eum veteribus sapientibus adscribebat (v. 20 sq.). Quibus blanditiis hic respondet scriptor, Iamblicho tributum immoderatae admirationis solvens. Ad summam iam senectutem pervenisse Iamblichum e votis in fine epistulae nuncupatis apparet.

Ἰουλιανὸς Ἰαμβλίχῳ φιλοσόφῳ. 405 b

Ὀδυσσεῖ μὲν ἐξήρκει τοῦ παιδὸς τὴν ἐφ᾽ ἑαυτῷ φαντασίαν ἀναστέλλοντι λέγειν·

Οὔ τίς τοι θεός εἰμι· τί μ᾽ ἀθανάτοισιν ἐίσκεις;

Ἐγὼ δὲ οὐδ᾽ ἐν ἀνθρώποις εἶναι φαίην ἂν ὅλως, ἕως ἂν Ἰαμβλίχῳ μὴ συνῶ. ἀλλ᾽ ἐραστὴς μὲν εἶναι σὸς ὁμολογῶ, καθάπερ ἐκεῖνος τοῦ Τηλεμάχου πατήρ. Κἂν γὰρ ἀνάξιόν c με λέγῃ τις εἶναι, οὐδὲ οὕτω τοῦ ποθεῖν ἀφαιρήσεται· ἐπεὶ καὶ ἀγαλμάτων καλῶν ἀκούω πολλοὺς ἐραστὰς γενέσθαι, μὴ μόνον τοῦ δημιουργοῦ τὴν τέχνην μὴ βλάπτοντας, ἀλλὰ καὶ τῷ περὶ αὐτὰ πάθει τὴν ἔμψυχον ἡδονὴν τῷ ἔργῳ προστιθέντας. Τῶν γε μὴν παλαιῶν καὶ σοφῶν ἀνδρῶν, οἷς ἡμᾶς ἐγκρίνειν ἐθέλεις παίζων, τοσοῦτον ἀπέχειν ἂν φαίην,

---

10 sq. cf. p. 236, **9** sq. || **12** et **15** Homer. π 187 sq. **13** sq. cf. p. 259, 17 sq. || **20** cf. p. 234, 3 sq. et 264, 18.

B V Δ LY = g E ΓΘGJK = f

9 Ἰουλιανὸς om. BΔYEf || φιλοσόφῳ om. BΔY || **10** Ὀδυσσεῖ — **12** ἐίσκεις om. Y || **10** ἐφ᾽ αὑτῷ V || **13** ἂν post οὐδ᾽ add. VgEf || ἐν ἀνθρώποις in ἀνθρώπων corr. Y ἀνθρώπων VL || φαίην ἂν εἶναι ὅλως transp. B φαίην ἂν ὅλως εἶναι transp. Y φαίην ἂν εἶναι (ὅλως om.) transp. Ef || ὅλως : ὁ λόγος V || **15** καθάπερ — πατήρ om. Y || πατήρ om. Ef; cf. Homer. *l. l.* v. 188 || **17** καλῶν : πολλῶν ΔL || **19** ἔργῳ : λόγῳ g || **20** Τῶν γε — p. **254**, **10** φωτίζει om. Y || **21** ἂν om. BVΔL

d ὁπόσον αὐτῷ σοι τῶν ἀνδρῶν μετεῖναι πιστεύω. Καίτοι σύ
γε οὐ Πίνδαρον μόνον οὐδὲ Δημόκριτον ἢ Ὀρφέα τὸν
παλαιότατον, ἀλλὰ καὶ ξύμπαν ὁμοῦ τὸ Ἑλληνικόν, ὁπόσον
εἰς ἄκρον φιλοσοφίας ἐλθεῖν μνημονεύεται, καθάπερ ἐν
λύρᾳ ποικίλων φθόγγων ἐναρμονίῳ συστάσει πρὸς τὸ ἐντε-
λὲς τῆς μουσικῆς κεράσας ἔχεις. Καὶ ὥσπερ Ἄργον τὸν
406 φύλακα τῆς Ἰοῦς οἱ μῦθοι πρόνοιαν ἔχοντα τῶν Διὸς παι-
δικῶν ἀκοιμήτοις πανταχόθεν ὀμμάτων βολαῖς περιφράτ-
τουσιν, οὕτω καὶ σὲ γνήσιον ἀρετῆς φύλακα μυρίοις παι-
δεύσεως ὀφθαλμοῖς ὁ λόγος φωτίζει. Πρωτέα μὲν δὴ τὸν
Αἰγύπτιόν φασι ποικίλαις μορφαῖς ἑαυτὸν ἐξαλλάττειν,
ὥσπερ δεδιότα μὴ λάθῃ τοῖς δεομένοις ὅτι ἦν σοφὸς ἐκφή-
b νας· ἐγὼ δέ, εἴπερ ἦν ὄντως σοφὸς ὁ Πρωτεὺς καὶ οἷος
πολλὰ τῶν ὄντων γινώσκειν, ὡς Ὅμηρος λέγει, τῆς μὲν
ὧν ᾔδει † φύσεως † αὐτὸν ἐπαινῶ, τῆς γνώμης δὲ οὐκ ἄγα-
μαι, διότι μὴ φιλανθρώπου τινός, ἀλλὰ ἀπατεῶνος ἔργον
ἐποίει κρύπτων ἑαυτόν, ἵνα μὴ χρήσιμος ἀνθρώποις ᾖ. Σὲ
δέ, ὦ γενναῖε, τίς οὐκ ἂν ἀληθῶς θαυμάσειεν, ὅς, οὐδέν τι
c τοῦ Πρωτέως τοῦ σοφοῦ μείων, εἰ μὴ καὶ μᾶλλον εἰς ἀρε-
τὴν ἄκραν τελεσθείς, ὧν ἔχεις καλῶν οὐ φθονεῖς ἀνθρώ-
ποις, ἀλλ' ὥσπερ Ἡλίου καθαροῦ δίκην ἀκτῖνας σοφίας
ἀκραιφνοῦς ἐπὶ πάντας ἄγεις, οὐ μόνον τοῖς παροῦσι τὰ
εἰκότα ξυνών, ἀλλὰ καὶ ἀπόντας ἐφ' ὅσον ἔξεστι τοῖς

---

3 cf. p. 261, 21 et 247, 5 || **14** sq. cf. Homer. δ 384 sq. || **15** sq. cf. p. 262, 18 sq. || **21** sq. cf. p. 247, 9 sq. || **22** sq. cf. p. 240, 3 sq.; 241, 3 sq. et 263, 15.

B V[U] Δ LY[Y incipit **10** Πρωτέα] = g E ΓΘGJK = f

2 δημόκριτον codd. : Δημόδοκον Friederich || ἢ : οὐδὲ L || **5** τὸ om. Ef || **6** κέρας VΔL || **8** ὀμμάτων om. L || **9** μυρίοις BΔL : καὶ μυρίοις f κ........V .... U || **12** λάθοι Δ, recte? || **15** [ὧν ᾔδει] Horkel, τῆς φύσεως < καὶ > ὧν ᾔδει Reiske || φύσεως : an γνώσεως vel aliquid simile? || **18** ὅσ B : ὠ ὅσ (sic) E ὡσ cett. || **19** εἰ μὴ καὶ Hertlein : εἰ· εἰ μὴ καὶ B εἰ (ἢ L)· καὶ μὴ VΔg εἰ· ἀλλὰ Ef || **22** τοῖς παροῦσι — **23** ξυνών : παρόντας Y || **22** τοῖς om. Ef

παρὰ σαυτοῦ σεμνύνων. Νικῷς δ' ἂν οὕτω καὶ τὸν Ὀρφέα
τὸν καλὸν οἷς πράττεις, εἴγε ὁ μὲν τὴν οἰκείαν μουσικὴν
εἰς τὰς τῶν θηρίων ἀκοὰς κατανάλισκε, σὺ δὲ ὥσπερ ἐπὶ
σωτηρίᾳ τοῦ κοινοῦ τῶν ἀνθρώπων γένους ταχθείς, καὶ
τὴν Ἀσκληπιοῦ χεῖρα πανταχοῦ ζηλῶν, ἅπαντα ἐπέρχῃ d
λογίῳ τε καὶ σωτηρίῳ νεύματι· ὥστ' ἔμοιγε δοκεῖ καὶ Ὅμηρος,
εἰ ἀνεβίω, πολλῷ δικαιότερον ἂν ἐπὶ σοὶ τὸ ἔπος
αἰνίξασθαι τὸ

εἷς δ' ἔτι που ζωὸς κατερύκεται εὐρέι κόσμῳ.

Τῷ γὰρ ὄντι τοῦ παλαιοῦ κόμματος ἡμῖν οἱονεὶ σπινθήρ τις
ἱερὸς ἀληθοῦς καὶ γονίμου παιδεύσεως ὑπὸ σοὶ μόνῳ ζωπυρεῖται.
Καὶ εἴη γε, Ζεῦ σῶτερ καὶ Ἑρμῆ λόγιε, τὸ κοινὸν 407
ἁπάσης τῆς οἰκουμένης ὄφελος, Ἰάμβλιχον τὸν καλόν, ἐπὶ
μήκιστον χρόνου τηρεῖσθαι. Πάντως που ὡς ἐφ' Ὁμήρῳ
καὶ Πλάτωνι καὶ Ἰσοκράτει, καὶ εἴ τις ἄλλος ἄξιος τοῦ χοροῦ
τούτου, δικαίας εὐχῆς ἐπίτευγμα τοῖς πρότερον εὐτυχηθὲν
οὕτω τοὺς ἐκείνων καιροὺς ἐπὶ μεῖζον ηὔξησεν,
οὐδὲν δὴ κωλύει καὶ ἐφ' ἡμῶν ἄνδρα λόγῳ καὶ βίῳ τῶν
ἀνδρῶν ἐκείνων ἀντάξιον ὑφ' ὁμοίαις εὐχαῖς ἐς τὸ ἀκρό- b
τατον τοῦ γήρως ἐπ' εὐδαιμονίᾳ τῶν ὅλων παραπεμφθῆναι.

---

5 cf. p. 239, 16; 247, 14 sq. et 232, 20 || **9** cf. Homer. δ 498 || **12** sq. cf. p. 249, 14.

B V Δ LY=g E ΓΘGJK=f

1 Νικῷς Ald. : νικᾷς codd. νικώης Hercher || [οὕτω] Hercher || **4** τεχθεὶς gEf || καὶ B : ὡς E εἰς cett. || **5** πανταχῇ Ef || **6** πνεύματι Martinius ῥεύματι vel νάματι? P. Thomas || **6** ὥστ' ἔμοιγε — **9** κόσμῳ om. Y || **7** πολλῷ om. Δ || **9** δ' ἔτι LEΓ : δέ τι cett. || **11**/**12** ζωπυρεῖται μόνῳ transp. Ef || **12** εἴη γε : εἶγε V || **14** χρόνον gK || που om. Δg || ὡς scripsimus : καὶ codd. || **14**/**15** ἐφ' ὁμήρου καὶ πλάτωνι καὶ Δ ἐφ' ὁμήρου καὶ πλάτωνος καὶ Ef || **15** Ἰσοκράτει scripsimus : σωκράτει BVΔg σωκράτους Ef || ἄλλος om. Ef || **16** ἐπιτήδευμα g || **18** λόγω BΔg : καὶ λόγω VEf || **19** ἐφ' ὁμοίαις B || εἰς gE || **20** τοῦ γήρους Δ || ὅλων : ἀνθρώπων G

188-197

Hae quoque epistulae, ubi non solum eadem insolita verba, sed etiam eaedem crebro repetuntur sententiae quas praebent octo priores (scil. ep. 180-187), nobis omnes eidem atque illae scriptori tribuendae videntur (cf. Cumont, *Sur l'authenticité* etc., p. 12 sq.). Quo tempore scriptae sint, accurate definire non possumus. Eas disposuimus, quoad potuimus, iuxta ordinem quem praebent diversae codicum familiae. Cf. *Recherches*, p. 148, tabulam I.

188 [ep. 8].

Georgius, rationalis summarum, cui epistulae 188 et 189 missae sunt, aliunde notus non esse videtur.

376 d Γεωργίῳ καθολικῷ.

Ἦλθες Τηλέμαχε, φησὶ τὸ ἔπος· ἐγὼ δέ σε καὶ εἶδον
377 ἤδη τοῖς γράμμασι καὶ τῆς ἱερᾶς σου ψυχῆς τὴν εἰκόνα καθάπερ ὀλίγῃ σφραγῖδι μεγάλου χαρακτῆρος τύπον ἀνεμαξάμην. Ἔστι γὰρ ἐν ὀλίγῳ πολλὰ δειχθῆναι· ἐπεὶ καὶ Φειδίας ὁ σοφὸς οὐκ ἐκ τῆς Ὀλυμπίασι μόνον ἢ Ἀθήνησιν εἰκόνος ἐγνωρίζετο, ἀλλ' ᾔδει καὶ μικρῷ γλύμματι μεγάλης τέχνης ἔργον ἐγκλεῖσαι, οἷον δὴ τὸν τέττιγά φασιν αὐτοῦ
b καὶ τὴν μέλιτταν, εἰ δὲ βούλει, καὶ τὴν μυῖαν εἶναι. Ὧν

14 Homer. π 23 et ρ 41. Cf. Liban. *Orat.* XV, 1, et supra p. 240, 16 sq.

T BΔ = r V²H = v LY = g ΓΘJK = f NO = b

13 γεωργίῳ καθολικῷ TrYN : ἰουλιανὸς γεωργίῳ καθολικῷ H γεωργίῳ LO γεωργίῳ ὑπάτῳ f τῷ (sic) V² || **14** ἦλθεσ THO : ἤλυθεσ cett. || δέ om. TBH || ἰδὼν rv || **17** Ἔστι : εἴη f || γὰρ : γ' ἂν H δ' ἂν rf || δειχθῆναι : διδαχθῆναι g || **19/20** γλύμματι μέγα τι τέχνης g || **20** δὴ : δὴ καὶ g || **21** εἶναι om. g

ἕκαστον, εἰ καὶ τῇ φύσει κεχάλκωται, ἀλλὰ τῇ τέχνῃ ἐμψύχωται. Ἀλλ᾿ ἐν ἐκείνοις μὲν ἴσως αὐτῷ καὶ ἡ σμικρότης τῶν ζῴων εἰς τὴν κατὰ λόγον τέχνην τὸ εἰκὸς ἐχαρίζετο· σὺ δὲ ἀλλὰ τὸν ἐφ᾿ ἵππου θηρῶντα Ἀλέξανδρον, εἰ δοκεῖ, σκόπει, οὗ τὸ μέτρον ἐστὶ πᾶν ὄνυχος δακτύλου χειρὸς οὐ μεῖζον, οὕτω δὲ ἐφ᾿ ἑκάστου τὸ θαῦμα τῆς τέχνης κέχυται, ὥστε ὁ μὲν Ἀλέξανδρος ἤδη τὸ θηρίον βάλλει καὶ τὸν θεατὴν φοβεῖ, δι᾿ ὅλου δυσωπῶν τοῦ σχήματος, ὁ δὲ ἵππος, c ἐν ἄκρᾳ τῶν ποδῶν τῇ βάσει τὴν στάσιν φεύγων, ἐν τῇ τῆς ἐνεργείας κλοπῇ τῇ τέχνῃ κινεῖται. Ὃ δὴ καὶ αὐτὸς ἡμῖν, ὦ γενναῖε, ἐποίεις· ὥσπερ γὰρ ἐν Ἑρμοῦ λογίου σταδίοις δι᾿ ὅλου πολλάκις τοῦ δρόμου στεφανωθεὶς ἤδη, δι᾿ ὧν ἐν ὀλίγοις γράφεις, τῆς ἀρετῆς τὸ ἄκρον ἐμφαίνεις, καὶ τῷ ὄντι τὸν Ὀδυσσέα τὸν Ὁμήρου ζηλοῖς, ὃς καὶ μόνον εἰπὼν ὅστις ἦν, ἤρκει τοὺς Φαίακας ἐκπλῆξαι. Εἰ δὲ δή τι καὶ d παρ᾿ ἡμῶν τοῦ κατὰ σὲ φιλικοῦ καπνοῦ δέει, φθόνος οὐδείς. Πάντως που καὶ παρὰ τῶν ἡττόνων εἶναί τι χρηστὸν ὁ μῦς τὸν λέοντα τῷ μισθῷ σώσας ἀρκούντως δείκνυσιν.

---

1 sq. cf. p. 262, 18 sq. || **11** (ὦ γενναῖε) cf. p. 243, 10; 247, 5 et 254, 18 || **11** sq. cf. p. 262, 5 sq. et 247, 19 sq. || **14** sq. cf. p. 253, 10 sq. et Homer. ι 19 || **18** cf. Babrii *Fab.* 107

T BΔ = r V² [sed v. **7** ὥστε incipit V] H = v LY = g ΓΘJK = f NO = b

1 κεχάλκευται r κεχάλωνται H σμικρόν, spatio quattuor litterarum postea vacuo relicto, V² || ἀλλὰ r : om. cett. || τὴν τέχνην Tr || **1**/**2** ἐμψύχωται rb : ἐψύχωται cett., ἐνεψύχωται Reiske || **2** ἐν om. g || **3** γρ. ἀνάλογον supra κατὰ λόγον scripsit J || **4** ἀφ᾿ ἵππου J et Hertlein || δοκεῖ : βούλει g || **5** μέτριον b || **5** δακτύλου — **6** μεῖζον om., spatio tredecim litterarum vacuo relicto, V² || **5** [δακτύλου χειρὸς] Hercher || **6** τὸ θαῦμα om. V² || **6/7** ἐκκέχυται Y ἔχεται V² δέχεται b || **7** Ἀλέξανδρος om. g || ἤδη om. b || **10** ἐναργείας f ἐναργίας g || **11** ἐποίησας f ποιεῖς Reiske || **14** ὃς : ὅστις b || **15** δὲ δή g : δέ Tf δή rVb; cf. p. 239, 10 et 265, 16 || **16** καπνοῦ om. b || δέῃ TrgO δέοι f || **17** που om. Bg || **18** τῷ μισθῷ codd., quod defendit Crusius : <ἐν> τῷ μύθῳ Hertlein

189 [ep. 54].

Γεωργίῳ καθολικῷ.

440 b Ἡ μὲν Ἠχὼ θεὸς ἔστω κατὰ σὲ καὶ λάλος, εἰ δὲ βούλει, καὶ Πανὶ σύζυγος· οὐ γὰρ διοίσομαι. Κἂν γὰρ ἐθέλῃ με διδάσκειν ἡ φύσις ὅτι ἐστὶν ἠχὼ φωνῆς ἐς ἀέρος πλῆξιν ἀντίτυπος ἠχὴ πρὸς τοὔμπαλιν τῆς ἀκοῆς ἀντανακλωμένη, ὅμως, παλαιῶν ἀνδρῶν ἔτι καὶ νέων οὐκ ἔλαττον ἢ τῷ σῷ
c πειθόμενος λόγῳ, θεὸν εἶναι τὴν Ἠχὼ δυσωποῦμαι. Τί γοῦν ἂν εἴη τοῦτο πρὸς ἡμᾶς, εἰ πολλῷ τῷ μέτρῳ τοῖς πρός σε φιλικοῖς τὴν Ἠχὼ νικῶμεν; Ἡ μὲν γὰρ οὐ πρὸς ἅπαντα, ὅ τι ἂν ἀκούσῃ, μᾶλλον ἢ πρὸς τὰ ἔσχατα τῆς φωνῆς ἀντιφθέγγεται, καθάπερ ἐρωμένη φειδωλὸς ἄκροις ἀντιφιλοῦσα τὸν ἐραστὴν τοῖς χείλεσιν· ἡμεῖς δὲ καὶ τῶν πρός σε κατάρχομεν ἡδέως, καὶ αὖθις εἰς τὴν παρὰ σοῦ
d πρόκλησιν οἱονεὶ σφαίρας δίκην τὸ ἴσον ἀντιπέμπομεν· ὥστε οὐκ ἂν φθάνοις, αὐτὸς ἔνοχος ὢν οἷς γράφεις, καὶ σαυτόν, ἀφ᾽ ὧν πλέον λαμβάνων ἐλάχιστον ἀντιδίδως, οὐχ ἡμᾶς, ἐν οἷς ἐπ᾽ ἄμφω πλεονεκτεῖν σπεύδομεν, ἐς τὸ ὅμοιον τῆς εἰκόνος ἐγκρίνων· πλήν, ἄν τε ἴσῳ τῷ μέτρῳ
441 διδῷς ᾧπερ ἂν λάβῃς, ἄν τε μή, ἡμῖν ὅ τι ἂν ἐξῇ παρὰ σοῦ λαβεῖν ἡδὺ καὶ πρὸς τὸ ὅλον ἀρκεῖν πιστεύεται.

190 [ep. 15].

Pro temporum ratione, Maximus hic non Ephesius theur-

7 cf. p. 234, 3 sq.; 253, 20 et 264, 18 || 19 sq. cf. p. 266, 1 sq.

E

5 ἡ φύσης cod. : ἡ φυσικὴ P. Thomas || 7 ἔτι <δὲ>? Hercher || ἔλαττον ἢ Petau : ἐλάττονι cod. || 11 ἅπαντα : πᾶν malit Hercher || 12 ἀντεφθέγγεται cod., corr. Vulcanius || 15 πρόσκλησιν cod., corr. Wyttenbach || 16 an [καὶ]? || 20 ᾧπερ Hercher : ὅπερ cod.

gus, Iuliani magister, esse videtur. sed potius Byzantius rhetor vel philosophus qui Euclidem filium habuit (Socrat., III, 1, 16; Suidas, *s. v.* Μάξιμος Ἠπειρώτης, qui duos confundit Maximos; cf. F. Cumont, *Sur l'authenticité* etc., p. 26, adn. 5 et [de alio quodam Maximo philosopho] Seeck, BLZG, p. 208). Nam exstant etiam litterae ad Euclidem, filium eius, ut videtur, infra editae (p. 261 sq.).

Ἰουλιανὸς Μαξίμῳ φιλοσόφῳ. 383

Ἀλέξανδρον μὲν τὸν Μακεδόνα τοῖς Ὁμήρου ποιήμασιν ἐφυπνώττειν λόγος, ἵνα δὴ καὶ νύκτωρ καὶ μεθ' ἡμέραν αὐτοῦ τοῖς πολεμικοῖς ὁμιλῇ συνθήμασιν· ἡμεῖς δέ σου ταῖς ἐπιστολαῖς ὥσπερ παιωνίοις τισὶ φαρμάκοις συγκαθεύδομεν, καὶ οὐ διαλείπομεν ἐντυγχάνοντες ἀεὶ καθάπερ νεα- b
ραῖς ἔτι καὶ πρῶτον εἰς χεῖρας ἡκούσαις. Εἴπερ οὖν ἐθέλεις ἡμῖν εἰκόνα τῆς σῆς παρουσίας τὴν ἐν τοῖς γράμμασιν ὁμιλίαν προξενεῖν, γράφε καὶ μὴ λῆγε συνεχῶς τοῦτο πράττων· μᾶλλον δὲ ἧκε σὺν θεοῖς, ἐνθυμούμενος ὡς ἡμῖν γ' ἕως ἂν ἀπῇς οὐδὲ ὅτι ζῶμεν εἰπεῖν ἔστιν, ἢ ὅτε μόνον τοῖς παρὰ σοῦ γραφομένοις ἐντυχεῖν ἔξεστιν.

---

9 sq. cf. Plutarch. *Alexander* c. 8 || **11** cf. p. 239, 9 sq. || **15** cf. p. 245, 19 sq. || **16** sq. cf. p. 265, 9 et 248, 9 || **17** sq. cf. p. 253, 13 sq.
*__12__ παιωνίοις τισὶ φαρμάκοις Suidas *s. v.* Παιώνιον.

T BΔ = r V LY [Y incipit **14** Εἴπερ] = g E ΓΘJK = Q NO = b

8 Ἰουλιανός om. TYEΘKQb || Μαξίμῳ : Ἰαμβλίχῳ L || φιλοσόφῳ om. rg || **10** νύκτωρ Qb : νύκτα cett. || **11** ὁμιλεῖ TK ὁμιλοίη Hercher; an ὁμιλοῖ? || **12** παιωνίοις Suidas : πα....οισ T παιονίοισ L παιωνείοισ cett. || **14** πρῶτον εἰς : πρὸσ L || **15** ἡμῖν om. Q || **16** προξενεῖν ὁμιλίαν transp. Ef || γράφων ἢ ante πράττων add. Q || **17** δὲ ἧκε : δ' αἰεὶ b || ἐν οὗ ante ἐνθυμούμενος add. b || **17/18** γ' ἕωσ ἂν Vf : ἕωσ γ' ἂν r ἕωσ ἂν Tg γε ἂν Q γ' ἕωσ Eb || **18** ἢ ὅτε μόνον (evan. in T) codd. : εἰ μὴ ὅσον Hercher || **19** ἐντυχεῖν ἔξεστιν : ἐντυγχάνομεν Q om. b

191 [ep. 16].

383 c Ἰουλιανὸς Μαξίμῳ φιλοσόφῳ.

Ὁ μὲν μῦθος ποιεῖ τὸν ἀετόν, ἐπειδὰν τὰ γνήσια τῶν κυημάτων βασανίζῃ, φέρειν ἄπτιλα πρὸς τὸν αἰθέρα καὶ ταῖς Ἡλίου προσάγειν ἀκτῖσιν, ὥσπερ ὑπὸ μάρτυρι τῷ θεῷ πατερα τε ἀληθοῦς νεοττοῦ γινόμενον καὶ νόθου γονῆς ἀλλοτριούμενον· ἡμεῖς δέ σοι καθάπερ Ἑρμῇ λογίῳ τοὺς
d ἡμετέρους λόγους ἐγχειρίζομεν. Κἂν μὲν ὑπομείνωσι τὴν σὴν ἀκτῖνα, ἐπὶ σοὶ τὸ κρῖναι περὶ αὐτῶν, εἰ καὶ πρὸς τοὺς ἄλλους εἰσὶ πτήσιμοι· εἰ δὲ μή, ῥῖψον εἰκῇ καθάπερ Μουσῶν ἀλλοτρίους, ἢ ποταμῷ κλύσον ὡς νόθους. Πάντως οὐδὲ ὁ Ῥῆνος ἀδικεῖ τοὺς Κελτούς, ὃς τὰ μὲν νόθα τῶν βρεφῶν ὑποβρύχια ταῖς δίναις πέμπει, καθάπερ ἀκολάστου λέχους τιμωρὸς πρέπων· ὅσα δ᾽ ἂν ἐπιγνῷ καθαροῦ σπέρματος, ὑπεράνω τοῦ ὕδατος αἰωρεῖ καὶ τῇ μητρὶ τρεμούσῃ
384 πάλιν εἰς χεῖρας δίδωσιν, ὥσπερ ἀδέκαστόν τινα μαρτυ-

---

3 sq. cf. Aelian. *Nat. anim.* II 26 et IX 3. Gregor. Nazianz. *Carm.* II 2, 4 v. 142 sq. PG 37, 1516 etc., et supra p. 246, 22 sq. || 9 sq. cf. p. 237, 10 sq. || 12 sq. cf. *Anthol. Palat.* IX 125. Iulian. 81 D.
*13 *καθάπερ* — 14 *πρέπων* *Lexic. Vindob. s. v.* Πρέπων.

T BΔ = r V LY = g ΓΘJK = f A E Q R NO = b

3 ἰουλιανὸς μαξίμω φιλοσόφω L : μαξίμω φιλοσόφω YAQRb μαξίμω E τῷ αὐτῷ (scil. Μαξίμῳ φιλοσόφῳ) TVf τῷ αὐτῷ (scil. Μαξίμῳ) r || **4** αἰθέρα : ἀέρα (sic) E ἀέρα AQRb || **5** ἀκτῖσι προσάγει ὡς ὑπὸ R || **6** ἀληθινοῦ R ἀληθῶς Q || νεοττοῦ om. Q || **8** λόγους om. Δ || ἐγχειρίζομεν λόγους transp. B || **8** Κἂν μὲν — **11** νόθους om. Y || **8** μὲν : μὴ L || **8/9** τὴν σὴν ἀκτῖνα AQRb et B (qui γρ. τὴν ἀκοὴν τὴν σὴν in marg. manu prima, ut vid., scripsit) : τὴν ἀκτῖνα E τὴν ἀκοὴν τὴν σὴν TΔVLf || **9** σοὶ τὸ : τοσοῦτον R || πρὸς : κατὰ R || **10** εἰσὶ : εἰσί που T || εἰκῇ T et, εἰ et ῇ e corr. prima manu facta, Γ; ἐκεῖ cett. || **13** ὑποβρύχια ταῖς δίναις πέμπει TrVgf et, πέμπει om., A : ταῖς δίναις ὑποβρύχια ποιεῖ EQRb || **14** λέχους : βρέφους Q || γνῷ R || **16** ὥσπερ : ὡς R

ρίαν αὐτῇ καθαρῶν καὶ ἀμέμπτων γάμων τὴν τοῦ παιδὸς σωτηρίαν ἀντιδωρούμενος.

192 [ep. 73].

Euclides filius Maximi philosophi esse videtur (cf. supra p. 259, 2 sq.).

Εὐκλείδῃ φιλοσόφῳ.

Πότε γὰρ ἡμῶν ἀπελείφθης, ἵνα καὶ γράφωμεν, ἢ πότε οὐχὶ τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς ὡς παρόντα σε θεωροῦμεν; οἵ γε οὐ μόνον ἀεί σοι συνεῖναι καὶ συνομιλεῖν δοκοῦμεν, ἀλλὰ καὶ τῶν γε νῦν σοι προσηκόντων ὡς ὑπὸ παρουσίᾳ τῇ σῇ τὰ εἰκότα κηδόμεθα. Εἰ δὲ καὶ γράφεσθαί σοι παρ' ἡμῶν ὡς ἀπόντι θέλεις, ὅρα μὲν ὅπως μὴ αὐτὸς τὸ δοκεῖν ἡμῶν ἀπεῖναι μᾶλλον αὐτῷ τῷ γράφειν ἐθέλειν ἐκφήνῃς· πλὴν ἀλλ' εἴγε σοι φίλον ἐστί, καὶ πρὸς τοῦτο ἑκόντες ὑπακούομεν. Πάντως γε, τὸ τοῦ λόγου, θέοντι παρακελεύσῃ, καὶ τὸν ἵππον εἰς πεδίον ἄξεις. Ἄγε οὖν ὅπως ἀντιδῷς τὰ ἴσα καὶ πρὸς τὴν ἀντίκλησιν ἐν τῇ τῶν ἀμοιβαίων συνεχείᾳ μὴ κατοκνήσῃς. Καίτοι ἔγωγε εἰς τὴν ὑπὲρ τοῦ κοινοῦ σοι γινομένην σπουδὴν οὐκ ἐθέλω διενοχλεῖν, ἀλλ' ὅλον σε φυλάττων τῇ θήρᾳ τῶν καλῶν, οὐ μόνον οὐδὲν ἀδικεῖν, ἀλλὰ καὶ ξύμπαν ὁμοῦ τὸ Ἑλληνικὸν ὠφελεῖν ἂν δοκοίην,

---

8 cf. p. 241, 3 sq. || 15 cf. Liban. *Epist.* 821 W. || 16 cf. Suidas *s. v.* Ἵππον || 16 sq. cf. p. 266, 8 || 21 cf. p. 247, 5 et 254, 3.

[1-2] T BΔ=r V LY=g ΓΘΙΚ=f A E Q R NO=b
[6 sq.] XY [Y desinit 16 ἄξεις]=d L

2 δωρούμενος QR

8 τῆς om. L || 9 οὖν ante οὐ add. L || ἀεί σοι συνεῖναι L : συνεῖναι σοι d || 10 σοι om. L || 11 Εἰ δὲ — 14 πλὴν om. Y || 12 « μὲν delendum, aut cum μοι est mutandum, quod eleganter redundet » Reiske || 15 τὸ om. d || θέοντι παρακελεύσῃ d : θέοντι τῇ παρακελεύσει L || 16 ἀντιδῷς X : ἀντιδίδως L || 18 ἔγωγε L : ἐγὼ μὲν X || εἰς L : εἰ X || 19 γενομένην in γιγνομένην corr. X || διοχλεῖν L || ὅλον X : ὅσω L || 20 φυλάττω codd., correximus || θύρα L || οὐδὲν X : om. L || 21 ἂν δοκοίην : ἂν (duobus punctis supra scriptis) et in margine λείπει X

ὡσπερεὶ σκύλακα γενναῖον ἀνενόχλητον ἀφιεὶς ἐσχολακέναι σε τοῖς περὶ τοὺς λόγους ἴχνεσιν ὁλοκλήρῳ τῷ λήματι. Εἰ δέ σοι τοσοῦτον περίεστι τοῦ τάχους ὡς μήτε τῶν φίλων ἀμελεῖν μήτ᾽ ἐκείνοις ἐνδεῖν, ἴθι χρῆσαι πρὸς ἄμφω τῷ δρόμῳ. Ἤδη τις καὶ ἀθλητὴς εὐδόκιμος ὁμοῦ καὶ τρέχειν καὶ ἀκοντίζειν οὐ παρῃτεῖτο, μηδετέρου τὴν ὑπεροχὴν ἐν τῇ πρὸς θάτερον ἀσχολίᾳ βλάπτων, ἀλλ᾽ ἐν ἑκατέρῳ τὸ κατόρθωμα...

193 [ep. 18].

Eugenius hic philosophus Themistii pater fuisse videtur, qui revera, agriculturae amator acerrimus, ruri in Paphlagoniae montibus (cf. p. 263, 4 : τῶν ὑμετέρων ὀρῶν) philosophiae vacavit. Cf. Themist., *Orat.* XX, p. 236 D sq. ; Seeck, BLZG, p. 132 sq.

386 b Ἰουλιανὸς Εὐγενίῳ φιλοσόφῳ.

Δαίδαλον μὲν Ἰκάρῳ φασὶν ἐκ κηροῦ πτερὰ συμπλάσαντα, τολμῆσαι τὴν φύσιν βιάσασθαι τῇ τέχνῃ· ἐγὼ δὲ ἐκεῖνον μὲν εἰ καὶ τῆς τέχνης ἐπαινῶ, τῆς γνώμης οὐκ ἄγαμαι· μόνῳ γὰρ κηρῷ λυσίμῳ τοῦ παιδὸς ὑπέμεινε τὴν

---

5 sq. cf. p. 247, 19 sq. et 257, 11 sq. || **16** sq. cf. Liban. *Epist.* 1604 W. || **18** sq. cf. p. 254, 15 sq. et 257, 1 sq.

[**1-8**] X L [L desinit **5** δρόμῳ]
[**15** sq.] T BΔ = r V L Π A NO = b Q R E

1 ὡσπερεὶ scripsimus : ὥσπερ εἰ codd. || σκύλα L || ἀόχλητον L || **2** σε X : σοι L || λήματι Reiske : βήματι et in margine γρ. λήμματι L βλέμματι X || **3** τοσοῦτον om. X || περίεστι τοῦ τάχους X : τάχους περίεστιν L || **4** ἀμελεῖν L : μέλειν X || πρὸς X : παρ᾽ L || **4/5** τῷ δρόμῳ X || **5** Ἤδη — **8** κατόρθωμα om. L || **6** μηδετέρου scripsimus : μηδ᾽ ἑτέρου cod. || **8** finis epistulae deest in cod.

15 Ἰουλιανὸς VL : om. cett. || Εὐγενίῳ φιλοσόφῳ : εὐμενίῳ b || **16** Ἰκάρῳ T om. L ἰκαρίῳ cett. || φησιν AL || πτερὰ : πλευρὰ E || **17** τῇ τέχνῃ ante τὴν φύσιν transp. E ante βιάσασθαι transp. Q || **17/18** δὲ ἐκεῖνον om. Π || **18** εἰ om. Π || καὶ post ἐπαινῶ add. Π || **19** μόνῳ Π : μόνος cett. || δὴ post γὰρ add. AbQRE || τοῦ παιδὸς om. Π

σωτηρίαν πιστεῦσαι. Εἰ δέ μοι θέμις ἦν κατὰ τὸν Τήιον ἐκεῖνον μελοποιὸν εὐχῇ τὴν τῶν ὀρνίθων ἀλλάξασθαι φύσιν, οὐκ ἂν δήπου πρὸς Ὄλυμπον οὐδὲ ὑπὲρ μέμψεως ἐρωτικῆς, ἀλλ᾽ εἰς αὐτοὺς ἂν τῶν ὑμετέρων ὀρῶν τοὺς πρόποδας ἔπτην, c ἵνα σε, τὸ μέλημα τοὐμόν, ὥς φησιν ἡ Σαπφώ, περιπτύξωμαι. Ἐπεὶ δέ με ἀνθρωπίνου σώματος δεσμῷ κατακλείσασα ἡ φύσις οὐ θέλει πρὸς τὸ μετέωρον ἁπλῶσαι, τῶν λόγων οἷς ἔχω σε πτεροῖς μετέρχομαι, καὶ γράφω, καὶ σύνειμι τὸν δυνατὸν τρόπον. Πάντως που καὶ Ὅμηρος αὐτοὺς οὐκ ἄλλου του χάριν ἢ τούτου πτερόεντας ὀνομάζει, διότι δύνανται πανταχοῦ φοιτᾶν, ὥσπερ οἱ ταχύτατοι τῶν d ὀρνίθων, ᾗ ἂν ἐθέλωσιν ᾄττοντες. Γράφε δὲ καὶ αὐτός, ὦ φίλος· ἴση γὰρ δήπου σοι τῶν λόγων, ὅ τι μὴ καὶ μείζων, ὑπάρχει ἡ πτέρωσις, ᾗ τοὺς ἑταίρους μεταθεῖν δύνασαι καὶ πανταχόθεν ὡς παρὼν εὐφραίνειν.

194 [ep. 19].

Hic Hecebolius Christianus sophista esse videtur, qui Iulia-

---

1 sq. cf. Anacreont. *Fr.* 24 et Aristophan. *Av.* 117 || 5 sq. Sapph. *Fr.* 126 || 8 cf. p. 239, 8 || 10 cf. p. 236, 18 sq. || 15 cf. p. 241, 6.

T BΔ = r V L Π A NO = b Q R E

2 μελοιπὸν Q || εὐχῇ om. E || τὴν τῶν ΠQRE : τὴν TLAb τῶν rV || **3** δήπου — **4** αὐτοὺς ἂν om. L || **3** μέμψεως : κόρης περσέως E || **4** ἂν om. QR || ἡμετέρων LΠR || τοὺς πρόποδας ante τῶν transp. E || τοὺς om. Π || ἔπτην : ἐπιδῆναι VL || **5** σε : σοι Π om. T || ὥς — Σαπφώ om. Π || **5/6** προσπτύξωμαι Π || **6** με om. LOR || ἀνθρωπείου ΠQ || **7** οὐκ ἐθέλει E || πρὸ L || μετέωρον : ἡμέτερον Π || ἁπλῶσαι (sublime elata anima simplex) : ἁρμόσαι E || **8** τὸν λόγον ΔVL || σε om. ΔΠOQE || **9** σύνειμι post τρόπον transp. Q || **9/10** αὐτὸς LOQ || **10** ἄλλου του : ἄλλους τὴν Π || τούτου om. Π || **11** διότι : διὸ δὴ b || πανταχοῦ om. b; πανταχοῖ? Hertlein || **12** ᾗ : οἷ LOE || θέλωσιν L || ᾄττωσι T ἄττονται R || δὲ : δὴ rAORE || ἡμῖν post αὐτός add. ΠAE || ὦ : ὡς A || **13** ὅ τι — μείζων om. Q || ὅτι TbR : ὅτ. Π ὅτε E εἰ rVLAQ || **14** ἡ πτέρωσις ὑπάρχει transp. ΠQ || ἡ om. BAbQRE || ᾗ : ἢ E || μεταθεῖν Π : μεταβῆναι T μεταθεῖναι cett. || δύναται bE || **15** παρὸν b παρόντας E || εὐφραίνεις rVL

num Constantinopoli rhetoricam docuit : cf. Liban., *Orat.* XVIII, 12-14 ; Socrat., III, 1, 10 ; 23, 5 : 13, 5 sq., et supra p. 179, adn. ad v. 11.

338 d ᾿Ιουλιανὸς ῾Εκηβολίῳ.

Πινδάρῳ μὲν ἀργυρέας εἶναι δοκεῖ τὰς Μούσας, οἱονεὶ
337 τὸ ἔκδηλον αὐτῶν καὶ περιφανὲς τῆς τέχνης ἐς τὸ τῆς ὕλης λαμπρότατον ἀπεικάζοντι. Ὅμηρος δὲ ὁ σοφὸς τόν τε ἄργυρον αἰγλήεντα λέγει καὶ τὸ ὕδωρ ἀργύρεον ὀνομάζει, καθάπερ ἡλίου καθαραῖς ἀκτῖσιν αὐτῷ τῷ τῆς εἰκόνος φαιδρῷ μαρμαρύσσον. Σαπφὼ <δ᾽> ἡ καλὴ τὴν σελήνην ἀργυρέαν φησὶ καὶ διὰ τοῦτο τῶν ἄλλων ἀστέρων ἀποκρύπτειν τὴν ὄψιν. Οὕτω καὶ θεοῖς τὸν ἄργυρον μᾶλλον ἢ τὸν
b χρυσὸν ἄν τις εἰκάσειε πρέπειν. ᾿Ανθρώποις γε μὴν ὅτι πρὸς τὴν χρείαν ἐστὶν ὁ ἄργυρος τοῦ χρυσοῦ τιμιώτερος καὶ σύνεστι μᾶλλον αὐτοῖς, οὐχ ὥσπερ ὁ χρυσὸς ὑπὸ γῆς κρυπτόμενος ἢ φεύγων αὐτῶν τὴν ὄψιν, ἀλλὰ καὶ ὀφθῆναι καλὸς καὶ ἐν διαιτήματι κρείττων, οὐκ ἐμὸς ἴδιος, ἀλλὰ παλαιῶν ἀνδρῶν ὁ λόγος ἐστίν.

Εἰ δέ σοι τοῦ πεμφθέντος ὑπὸ σοῦ χρυσοῦ νομίσματος
c εἰς τὸ ἴσον τῆς τιμῆς ἕτερον ἀργύρου ἀντιδίδομεν, μὴ

5 cf. Pindar. *Fr.* 287 : *Pyth.* XI 42 ; *Isthm.* II 8 || **9** sq. cf. p. 246, 21 et 247, 9 sq. || **10** sq. Sapph. *Fr.* 3. Cf. Iulian. 109 C || **17** sq. cf. p. 230, 20 ; 234, 3 sq. ; 253, 20 et 258, 7 || **19** sq. cf. p. 252, 4 sq.

T V [desinit **16** ὄψιν, sed sequentia habent HU = v] X C

4 sic V : ἐκηβολίῳ T ἐκηβόλῳ C om. X || **7** λαμπρότατον P. Thomas : λαμπρότερον codd. || Ὅμηρος errore scriptoris aut librarii || **9** αὐτῷ — **10** μαρμαρύσσον om. in spatio vacuo undecim litterarum X || **9** αὐτῷ T : αὐτὸ VC || **9/10** τὸ τῆς εἰκόνος φαιδρὸν C || **10** μαρμαρύσσων T ἀντιμαρμαρύσσον Reiske || <δ᾽> Sintenis || καλλίστη X || **12** Οὕτω : οὔτε C || θεοῖς : θοῖς, spatio vacuo duarum litterarum antea et postea relicto, C || **13** ἄν τις εἰκάσειε T : εἰς σὲ εἰκάσειε C et (duobus punctis supra scriptis corruptela indicata) X εἰκάσειεν εἰς σὲ V || **15** ὥσπερ : ὥς (sic) X || **15/16** ὁ χρυσὸς post κρυπτόμενος transp. X || **15** ὑπὸ Reiske : ἐπὶ codd. || **17** διαιτήμασι TC || **19** δέ σοι v : δὲ καὶ σοὶ TXC || **20** ἑτέραν C || ἀργύρου TX : ἀργυρίου C ἀργύριον v

κρίνης ἧττω τὴν χάριν, μηδὲ ὥσπερ τῷ Γλαύκῳ πρὸς τὸ ἔλαττον οἰηθῇς εἶναι τῶν ὅπλων τὴν ἀντίδοσιν, ἐπεὶ μηδὲ ὁ Διομήδης ἴσως ἀργυρᾶ χρυσῶν ἀντέδωκεν, ἅτε δὴ πολλῷ τῶν ἑτέρων ὄντα χρησιμώτερα καὶ τὰς αἰχμὰς οἱονεὶ μολίβδου δίκην ἐκτρέπειν εἰδότα.

Ταῦτά σοι προσπαίζομεν, ἀφ᾿ ὧν αὐτὸς γράφεις τὸ ἐνδόσιμον εἰς σὲ τῆς παρρησίας λαμβάνοντες. Σὺ δέ, εἰ τῷ **d** ὄντι ἡμῖν χρυσοῦ τιμιώτερα δῶρα ἐθέλεις ἐκπέμπειν, γράφε καὶ μὴ λῆγε συνεχῶς τοῦτο πράττων· ἐμοὶ γὰρ καὶ γράμμα παρὰ σοῦ μικρὸν ὅτου περ ἂν εἴπῃ τις ἀγαθοῦ κάλλιον εἶναι κρίνεται.

195 [ep. 57].

Ἰουλιανὸς Ἐλπιδίῳ φιλοσόφῳ.

Ἔστι καὶ μικροῦ γράμματος ἡδονὴ μείζων, ὅταν ἡ τοῦ **442 d** γράφοντος εὔνοια μὴ τῇ τῆς ἐπιστολῆς μικρότητι μᾶλλον ἢ τῷ τῆς ψυχῆς μεγέθει μετρῆται· εἰ δὲ δὴ καὶ νῦν ἐν βραχεῖ τὰ τῆς προσρήσεως ὑφ᾿ ἡμῶν γένηται, μηδ᾿ οὕτω τὸν ἐπ᾿ αὐτοῖς πόθον τεκμηριώσῃ, ἀλλ᾿ εἰδὼς ἐφ᾿ ὅσον ὁ παρ᾿ ἡμῶν ἔρως ἐπὶ σοὶ τέταται, τῇ μὲν τοῦ γράμματος

---

1 Homer. Z 235 sq. || **4** sq. *ibid.* Λ 237 || **6** cf. p. 233, 21 sq. || **6** sq. cf. p. 251, 13 || **9** cf. p. 259, 16 || **9** sq. cf. p. 266, 6 sq. || **14** sq. cf. p. 240, 2 sq. || **15** sq. cf. p. 266, 8 sq.

[**1-11**] T HU=v X C — [**13** sq.] LY=g E Q R

2 [τῶν ὅπλων] Hercher : an haec verba ante πρὸς τὸ (v. 1) transponenda? || **3** ἴσως < ἂν > P. Thomas || πολλῶν X || **5** τρέπειν X || **8** πέμπειν X || **10** ὅτου περ : οὗπερ T || εἴποι τις C εἴπῃς X

13 ἰουλιανός L : om. cett. || ἐλπιδίῳ φιλοσόφῳ EQR : ἀρποκρατίωνι L τῷ αὐτῷ Y (ubi hae litterae epistulam 183 [p. 240 sq.], Iamblicho missam, sequuntur) || **15** σμικρότητι Q σμικρότιτι E || **16** μετρῆται Y : μετρεῖται LQR στερῆται E || **16/17** ὑφ᾿ ἡμῶν τὰ τῆς προσρήσεως ἐν βραχεῖ (ἐν βραχεῖ : ἐν αὐτῇ L) transp. g || ἐν βραχεῖ : βραχέα E || **17** γενήσεται L γεγένηται Hertlein || μηδ᾿ : μὴ EQ || **19** παρ᾿ ἡμῖν g || ὡς καὶ ante ἐπὶ add. R || τέταται : τέτευκται Q

443 βραχύτητι συγγνώμην νέμε. τοῖς ἴσοις δὲ ἡμᾶς ἀμείβεσθαι μὴ κατόκνει. Πᾶν γὰρ ὅ τι ἂν διδῷς, κἂν μικρὸν ᾖ, παντὸς ἀγαθοῦ γνώρισμα παρ' ἡμῖν σώζει.

196 [ep. 28].

Ἰουλιανὸς Γρηγορίῳ ἡγεμόνι.

402 c Ἐμοὶ καὶ γράμμα παρὰ σοῦ μικρὸν ἀρκεῖ μεγάλης ἡδονῆς πρόφασιν μνηστεῦσαι. Καὶ τοίνυν, οἷς ἔγραψας ἄγαν ἡσθείς, ἀντιδίδωμι καὶ αὐτὸς τὴν ἴσην, οὐ τῷ τῶν ἐπιστολῶν μήκει μᾶλλον ἢ τῷ τῆς εὐνοίας μεγέθει τὰς τῶν ἑταίρων φιλίας ἐκτίνεσθαι δεῖν κρίνων.

197 [ep. 32].

Ἰουλιανὸς Λουκιανῷ σοφιστῇ.

404 d Καὶ γράφω καὶ ἀντιτυχεῖν ἀξιῶ τῶν ἴσων. Εἰ δὲ ἀδικῶ συνεχῶς ἐπιστέλλων, ἀνταδικηθῆναι δέομαι τὰ ὅμοια παθών.

198-201

Inter dubias nobis recensendae sunt hae quattuor litterae, ubi certe nil reperitur quod eas revera a Iuliano scriptas esse demonstret. Auctori epistularum 180 sq. non sunt tribuendae.

---

1 sq. cf. p. 258, 19 sq. || **6** sq. cf. p. 265, 9 sq. || **8** cf. p. 261, 16 sq. || **8** sq. cf. p. 265, 15 sq. || **13** cf. p. 239, 10 sq.

[**1-3**] LY=g E Q R — [**5-10**] BΔ=r V C L R E [**12-15**] BΔ=r V L

1 ἴσοις : σοῖς R || **2** ἂν : ἀεὶ R || **3** παρ' ἡμῶν R

5 titulum om. CR || Ἰουλιανὸς om. rE || Γρηγορίῳ ἡγεμόνι : λούπῳ (sed praecedentem ep. [scil. ep. 197; cf. infra adn. ad v. 12] ἰουλιανὸς γρηγορίῳ inscribit) L || **6** δρᾶμα περὶ σοῦ C || **7** Καὶ om. rL || ἄγαν om. C || **9** μᾶλλον ἢ : ἀλλὰ R || **9/10** ἑτέρων BC || **10** φιλίας om. L || ἐκτείνεσθαι codd., corr. Heyler

12 ἰουλιανὸς λουκιανῷ σοφιστῇ V : ἰουλιανὸς γρηγορίῳ (cf. adn. ad v. 5) L δοσιθέῳ a titulo sequentis ep. (scil. ep. 200; cf. p. 274) huc illatum, sed a rubricatore expunctum Δ om. B || **13** prius καὶ habent rL cum margine abscissum est, ut vid., in V || **14/15** τῶν ὁμοίων παθῶν V

198 [ep. 35].

De huius epistulae sermone et argumento diligentissime et sollertissime disseruit Bruno Keil (*Nachr. Gesellsch. der Wiss. zu Göttingen. Phil.-hist. Kl.*, 1913, p. 1-41), qui probavit eas litteras commendaticias esse (ἐπιστολὴ συστατική) in formam suasoriae (λόγος συμβουλευτικός) conscriptas, quas defensor rhetorica doctrina imbutus legatis Argivorum dedit, cum apud praesidem provinciae vel apud iudicem ab eo datum retractata causa abolitionem postularent iudicii quo eorum civitas ad Corinthiorum ludos pecuniam conferre coacta erat. Praeterea vir doctissimus contendit hanc epistulam oratoriam non Iuliani tempore sed primo post C. n. saeculo compositam esse. Putaverunt alii Iulianum eiusdem causae mentionem facere in ep. 30 (p. 35, 27 sq.; cf. P. Maas, *Byz. Zeitschr.*, XXII, 1913, p. 534 sq.). — In codice V (cf. *Recherches*, p. 32) hanc ἐπιστολὴν συστατικὴν sequitur epistula 89 a (Θεοδώρῳ ἀρχιερεῖ; cf. p. 123 sq.) : unde coniecerunt viri docti (P. Maas, etc.) a Theodoro scriptam esse hanc suasoriam (cf. supra p. 35, adn. ad v. 28). Quorum opinio, si non probanda, at certe memoratu digna esse videtur. — A Iuliano revera scriptam esse hanc epistulam demonstrare conatur Asmus, *Philologus*, XX, 1913, p. 115 sq.

[Ἰουλιανὸς Ἀργείοις] 407 b

Ὑπὲρ τῆς Ἀργείων πόλεως πολλὰ μὲν ἄν τις εἰπεῖν ἔχοι, σεμνύνειν αὐτὴν ἐθέλων, παλαιὰ καὶ νέα πράγματα. Τοῦ τε γὰρ Τρωικοῦ, καθάπερ ὕστερον Ἀθηναίοις καὶ Λακεδαιμονίοις τοῦ Μηδικοῦ, προσήκει τὸ πλέον ἐκείνοις ἔργου. c
Δοκεῖ μὲν γὰρ ἄμφω κοινῇ πραχθῆναι παρὰ τῆς Ἑλλάδος· ἄξιον δὲ ὥσπερ τῶν ἔργων καὶ τῆς φροντίδος, οὕτως καὶ τῶν ἐπαίνων τοὺς ἡγεμόνας τὸ πλέον μετέχειν.

V [U Ald.]

23 sic cod. : Ἀνεπίγραφος ὑπὲρ Ἀργείων Ald. ; titulum uncis inclusimus : cf. p. 271, 11 sq., 272, 2 et 273, 5 || **25/26** πράγματα· τοῦ Ald. : ....α τοῦ V .... τοῦ U || **27** τοῦ Μηδικοῦ (vel Περσικοῦ) Dübner : τοῦ..... VU τοῦτο Ald. || **29** Ἑλλάδος· ἄξιον Ald. : .....ξιον V ...... U || **30** τοὺς ἡγεμόνας τὸ πλέον Ald. : τοὺς ἡγεμο....ὸ πλέον V τοὺς ἡγεμόνας .. πλέον U

Ἀλλὰ ταῦτα μὲν ἀρχαιάπως εἶναι δοκεῖ· τὰ δὲ ἐπὶ τούτοις,
ἥ τε Ἡρακλειδῶν κάθοδος καὶ ὡς τῷ πρεσβυτάτῳ γέρας
d ἐξῃρέθη, ἥ τε εἰς Μακεδόνας ἐκεῖθεν ἀποικία καὶ τὸ
Λακεδαιμονίοις οὕτω πλησίον παροικοῦντας ἀδούλωτον
ἀεὶ καὶ ἐλεύθερον φυλάξαι τὴν πόλιν οὐ μικρᾶς οὐδὲ τῆς
τυχούσης ἀνδρείας ἦν. Ἀλλὰ δὴ καὶ τὰ τοσαῦτα περὶ τοὺς
Πέρσας ὑπὸ τῶν Μακεδόνων γενόμενα ταύτῃ προσήκειν
τῇ πόλει δικαίως ἄν τις ὑπολάβοι· Φιλίππου τε γὰρ καὶ
Ἀλεξάνδρου τῶν πάνυ τῶν προγόνων πατρὶς ἦν αὕτη.
408 Ῥωμαίοις δὲ ὕστερον οὐχ ἁλοῦσα μᾶλλον ἢ κατὰ ξυμμα-
χίαν ὑπήκουσε, ἥπερ, οἶμαι, μετεῖχε καὶ αὐτὴ καθάπερ
αἱ λοιπαὶ τῆς ἐλευθερίας καὶ τῶν ἄλλων δικαίων, ὁπόσα
νέμουσι ταῖς περὶ τὴν Ἑλλάδα πόλεσιν οἱ κρατοῦντες
ἀεί.

Κορίνθιοι δὲ νῦν αὐτὴν προσγενομένην αὑτοῖς (οὕτω
γὰρ εἰπεῖν εὐπρεπέστερον) ἀπὸ τῆς βασιλευούσης πό-
λεως, εἰς κακίαν ἐπαρθέντες, συντελεῖν αὑτοῖς ἀναγκά-
b ζουσι, καὶ ταύτης ἦρξαν, ὥς φασι, τῆς καινοτομίας
ἕβδομος οὗτος ἐνιαυτός, οὔτε τὴν Δελφῶν οὔτε τὴν Ἠλείων
ἀτέλειαν, ἧς ἠξιώθησαν ἐπὶ τῷ διατιθέναι τοὺς παρὰ σφί-
σιν ἱεροὺς ἀγῶνας, αἰδεσθέντες. Τεττάρων γὰρ ὄντων, ὡς
ἴσμεν, τῶν μεγίστων καὶ λαμπροτάτων ἀγώνων περὶ τὴν
Ἑλλάδα, Ἠλεῖοι μὲν Ὀλύμπια, Δελφοὶ δὲ Πύθια, καὶ τὰ

V [V[d] U Ald.]

2 ἥ τε V[d] : .. V ... U ἡ Ald.; an ἡ τῶν ? || 3 ἐκεῖθεν Ald. : .... θεν V ἦλθεν U || 5 καὶ ἐλεύθερον φυλάξαι Ald. : ....λεύθ (ut vid.).... (ἐλευθέραν V[d]) φυλάξαι V .... U || 6 τὰ τοσαῦτα Hertlein : τὰ ...αῦτα VU τὰ τοιαῦτα Ald. || 8 δικαίως U Ald. : ...αίως V || 9 πατρὶς Ald. : ...... VU || 11 ἥπερ scripsimus : .περ V ὥσπερ U καὶ ὥσπερ Ald. ὅθενπερ Keil || 12 ὁπόσα Dübner : ..σα V ..όσα V[d] .... U ὅσα Ald. || 15 αὐτὴν Ald. : ..... V ..τὴν V[d]U || 16 ἀπὸ : ὑπὸ Hertlein || 17 εἰς κακίαν Ald. : .....κίαν VU εἰς ἀδικίαν P. Thomas || αὑτοῖς Hertlein : αὐτοῖς Spanheim αὐτοὺς cod. || 18 καινοτομίας Ald. : ...νοτομίας VU || 20 ἀτέλειαν Petau : .τέλειαν V ...τέλειαν U συντέλειαν Ald. || 23 ἑλλάδα U Ald. : ἑλλάδ . V

ἐν Ἰσθμῷ Κορίνθιοι. Ἀργεῖοι δὲ τὴν τῶν Νεμέων συγκρο-
τοῦσι πανήγυριν. Πῶς οὖν εὔλογον ἐκείνοις μὲν ὑπάρχειν c
τὴν ἀτέλειαν τὴν πάλαι δοθεῖσαν, τοὺς δὲ ἐπὶ τοῖς ὁμοίοις
δαπανήμασιν ἀφεθέντας πάλαι, τυχὸν δὲ οὐδὲ τὴν ἀρχὴν
ὑπαχθέντας, νῦν ἀφῃρῆσθαι τὴν προνομίαν ἧς ἠξιώθησαν;
Πρὸς δὲ τούτοις Ἠλεῖοι μὲν καὶ Δελφοὶ διὰ τῆς πολυθρυλ-
λήτου πενταετηρίδος ἅπαξ ἐπιτελεῖν εἰώθασι, διττὰ δ'
ἐστὶ Νέμεα παρὰ τοῖς Ἀργείοις, καθάπερ Ἴσθμια παρὰ
Κορινθίοις. Ἐν μέντοι τούτῳ τῷ χρόνῳ καὶ δύο πρόκεινται
παρὰ τοῖς Ἀργείοις ἀγῶνες ἕτεροι οἵδε, ὥστε εἶναι τέσ- d
σαρας πάντας ἐνιαυτοῖς τέσσαρσι. Πῶς οὖν εἰκὸς ἐκείνους
μὲν ἀπράγμονας εἶναι λειτουργοῦντας ἅπαξ, τούτους δὲ
ὑπάγεσθαι καὶ πρὸς ἑτέρων συντέλειαν ἐπὶ τετραπλασίοις
τοῖς οἴκοι λειτουργήμασιν, ἄλλως τε οὐδὲ πρὸς Ἑλληνικὴν
οὐδὲ παλαιὰν πανήγυριν; Οὐ γὰρ ἐς χορηγίαν ἀγώνων γυ-
μνικῶν ἢ μουσικῶν οἱ Κορίνθιοι τῶν πολλῶν δέονται χρημά-
των, ἐπὶ δὲ τὰ κυνηγέσια τὰ πολλάκις ἐν τοῖς θεάτροις ἐπιτε- 409
λούμενα ἄρκτους καὶ παρδάλεις ὠνοῦνται· οἵπερ αὐτοὶ μὲν
εἰκότως φέρουσι διὰ τὸν πλοῦτον τῶν ἀναλωμάτων τὸ μέγε-
θος, ἄλλως τε καὶ πολλῶν πόλεων, ὡς εἰκός, αὐτοῖς εἰς τοῦτο
συναιρομένων ὠνοῦνται τὴν τέρψιν τοῦ φρονήματος. Ἀρ-
γεῖοι δέ, χρημάτων τε ἔχοντες ἐνδεέστερον καὶ ξενικῇ θέᾳ

V [U Ald.]

1 νεμέων Ald. : νεμίων cod. ; an Νεμείων? sed cf. v. 8 || **9** προσκεῖνται Keil || **10** ἀγῶνες om. Hertlein || **11** <τοὺς> πάντας <ἐν> ἐνιαυτοῖς Hertlein || τέσσαρσι U Ald. : τέσσ.... V || **12** δὲ Ald. : δ. V .. U || **14** λειτουργήμασιν U Ald. : λειτου...μασιν V || τε <καὶ> Reiske || **15** χορηγίαν Dübner : χορηγ... (sine accentu, in fine versus) V χορ.... U χορήγησιν Ald. || **17** κυνηγέσια Ald. : κ...γέσια V ...... γέσια (ἐπὶ δὲ τὰ om.) U || ἐν τοῖς Petau : ἐνίοις cod. || **18** ὠνοῦνται Ald. : ὠνου.... V ; παρδάλεις ὠνοῦνται om. U || Οἵπερ Keil : ἅπερ cod. ἀτὰρ Reiske || **19** <καὶ> τῶν Ald. || **20** ἄλλως Ald. : ..λως VU || **21** ὠνουμένων? Keil || τοῦ φρονήματος Ald. : τοῦ ... νήματος U το....νήματος V τοῦ δαπανήματος Naber : [ὠνοῦνται — φρονήματος] Horkel ; <ὠ.> ὠνοῦνται Reiske

καὶ παρ' ἄλλοις ἐπιβουλεύειν ἀναγκαζόμενοι, πῶς οὐκ ἄδικα
b μὲν καὶ παράνομα, τῆς δὲ περὶ τὴν πόλιν ἀρχαίας δυνάμεώς τε καὶ δόξης ἀνάξια πείσονται, ὄντες γ' αὐτοῖς καὶ ἀστυγείτονες, οὓς προσῆκον ἦν ἀγαπᾶσθαι μᾶλλον, εἴπερ ὀρθῶς εἶχε τὸ « οὐδ' ἂν βοῦς ἀπόλοιτο, εἰ μὴ διὰ κακίαν γειτόνων »; Ἀργεῖοι δὲ ἐοίκασιν οὐχ ὑπὲρ ἑνὸς πολυπραγμονούμενοι βοιδίου ταῦτα τοὺς Κορινθίους αἰτιᾶσθαι, ἀλλ' ὑπὲρ πολλῶν καὶ μεγάλων ἀναλωμάτων, οἷς οὐ δικαίως εἰσὶν ὑπεύθυνοι.

c Καίτοι πρὸς τοὺς Κορινθίους εἰκότως ἄν τις καὶ τοῦτο προσθείη, πότερον αὐτοῖς δοκεῖ καλῶς ἔχειν τοῖς τῆς παλαιᾶς Ἑλλάδος ἕπεσθαι νομίμοις, ἢ μᾶλλον οἷς ἔναγχος δοκοῦσι παρὰ τῆς βασιλευούσης προσειληφέναι πόλεως. Εἰ μὲν γὰρ τὴν τῶν παλαιῶν νομίμων ἀγαπῶσι σεμνότητα, οὐκ Ἀργείοις μᾶλλον εἰς Κόρινθον ἢ Κορινθίοις εἰς Ἄργος συντελεῖν προσήκει· εἰ δὲ τοῖς νῦν ὑπάρξασιν
d τῇ πόλει, ἐπειδὴ τὴν Ῥωμαϊκὴν ἀποικίαν ἐδέξαντο, ἰσχυριζόμενοι πλέον ἔχειν ἀξιοῦσι, παραιτησόμεθα μετρίως αὐτοὺς μὴ τῶν πατέρων φρονεῖν μείζονα, μηδὲ ὅσα καλῶς ἐκεῖνοι κρίναντες ταῖς περὶ τὴν Ἑλλάδα διεφύλαξαν πόλεσιν ἔθιμα, ταῦτα καταλύειν καὶ καινοτομεῖν ἐπὶ βλάβῃ καὶ λύμῃ τῶν ἀστυγειτόνων, ἄλλως τε καὶ νεωτέρᾳ χρω-

---

5/6 Hesiod. *Op.* 348.

V [U Ald.]

2 πόλιν U Ald. : πό... V || 3 γ' Reiske : γὰρ cod. || 4 ἀστυγείτονες Hertlein : ἀ... γείτονες V ..... γείτονες U αὐτοὶ γείτονες Ald. ; cf. infra v. 22 || 5 εἶχε Hertlein || βοῦς Martinius : β... VU βίος Ald. || 7 πολυπραγμονούμενοι U Ald. : π...πραγμονούμενοι V || 8 καὶ U Ald. : κ... V || 11/12 παλαιᾶς Ald. : παλα... V παλαι.. U || 12 οἷς Ald. : ἧς, quod in οἷς corr. manus recentior, V ἧς et in marg. εἷς U || 13 βασιλευούσης Ald. : βασιλευου... V βασιλ...... U || 14/15 σεμνότητα Ald. : σεμνότη.. V σεμνό... U || 15 οὐκ Martinius : ... VU om. Ald.
17 τῇ πόλει Hertlein : τὴν πόλιν cod. <εἰς> τὴν πόλιν Reiske <περὶ> τὴν πόλιν Keil ; ὑπάρξασι τὴν πόλιν conicit P. Maas || 19 μεῖζον Cobet || 20 κρίναντες U Ald. : .ρίν..τες V

μένους τῇ ψήφῳ, καὶ τὴν ἀπραγμοσύνην <τοῦ λαχόντος>
ὑπὲρ τῆς Ἀργείων πόλεως τὴν δίκην εἰσελθεῖν ἕρμαιον
ἔχοντας τῆς πλεονεξίας. Ἦ γὰρ ἄν, <εἰ> ἐφῆκεν ἔξω τῆς 410
Ἑλλάδος ἀπάγων τὴν δίκην, οἱ Κορίνθιοι ἔλαττόν τε ἰσχύειν
ἔμελλον καὶ τὸ δίκαιον ἐξεταζόμενον καλῶς φαίνεσθαι
παρὰ τῶν πολλῶν καὶ γενναίων τούτων συνηγόρων, ὑφ' ὧν
εἰκός ἐστι τὸν δικαστήν, προτιθεμένου καὶ τοῦ κατὰ τὴν
πόλιν ἀξιώματος, δυσωπούμενον ταύτην τὴν ψῆφον ἐξενεγκεῖν.

Ἀλλὰ τὰ μὲν ὑπὲρ τῆς πόλεως δίκαια καὶ τῶν ῥητόρων,
εἰ μόνον ἀκούειν ἐθέλοις καὶ λέγειν αὐτοῖς ἐπιτραπείη τὴν b
δίκην, ἐξ ὑπαρχῆς πεύσῃ, καὶ τὸ παραστὰν ἐκ τῶν λεγομένων
ὀρθῶς κριθήσεται. Ὅτι δὲ χρὴ καὶ τοῖς τὴν πρεσβείαν
ταύτην προσάγουσι δι' ἡμῶν πεισθῆναι, μικρὰ προσθεῖναι
χρὴ περὶ αὐτῶν. Διογένης μέν τοι καὶ Λαμπρίας φιλοσοφοῦσι
μέν, εἴπερ τις ἄλλος τῶν καθ' ἡμᾶς, τῆς πολιτείας
δὲ τὰ μὲν ἔντιμα καὶ κερδαλέα διαπεφεύγασι· τῇ πατρίδι
δὲ ἐπαρκεῖν ἀεὶ κατὰ δύναμιν προθυμούμενοι, ὅταν ἡ πόλις
ἐν χρείᾳ μεγάλῃ γένηται, τότε ῥητορεύουσι καὶ πολιτεύον- c
ται καὶ πρεσβεύουσι καὶ δαπανῶσιν ἐκ τῶν ὑπαρχόντων
προθύμως, ἔργοις ἀπολογούμενοι τὰ φιλοσοφίας ὀνείδη καὶ
τὸ δοκεῖν ἀχρήστους εἶναι ταῖς πόλεσι τοὺς μετιόντας
αὐτὴν ψεῦδος ἐλέγχοντες· χρῆται γὰρ αὐτοῖς ἥ τε πατρὶς

V [U Ald.]

1 <τοῦ λαχόντος> Petau; cf. infra p. 272, 9 sq.: contra Keil *l. l.* p. 10 adn. 3 ‖ **3** ἔχοντας Ald.: ἔχοντες U et, ut vid., V ‖ <εἰ> supplevimus; ἢ in εἰ correxerat Petau et, ἂν deleto, Hertlein ‖ **6** παρὰ, ut vid., V: πρὸς Ald. ... U ‖ **7** προστιθεμένου Petau προτιθέμενον Ald. ‖ τοῦ Petau: ... VU περὶ τοῦ Ald. ‖ **8** ταύτῃ Reiske ‖ **10** ὑπὲρ τῆς πόλεως Ald.: ὑπὲρ ....όλεως V ὑπὲρ πόλεως U ‖ **12** ἐξ Hercher: .. (cum margine abscissum) V om. U Ald. ‖ **13** τὴν πρεσβείαν Hercher: ...... βει.. V ...... U πρεσβείαν Ald. ‖ **15** μέν τοι Ald. U: ...τοι V ‖ **17** τὰ μὲν ἔντιμα Hertlein: ....μα V τὰ μὲν ἔννομα Ald. ..... U ‖ **18** προθυμούμενοι Ald.: ... θυμούμενοι VU ‖ **20** καὶ[1] U Ald.: ... V ‖ **21** ἀπολογούμενοι Ald.: ἀπο.....μενοι VU ‖ **23** αὐτὴν scripsimus: φιλοσοφίαν Ald. .... (spatium angustius quam ut verbum φιλοσοφίαν capiat) V .... U

εἰς ταῦτα καὶ πειρῶνται βοηθεῖν αὐτῇ δικαίως δι' ἡμῶν, ἡμεῖς δὲ αὖθις διὰ σοῦ. Τοῦτο γὰρ καὶ μόνον λείπεται τοῖς ἀδικουμένοις εἰς τὸ σωθῆναι, τὸ τυχεῖν δικαστοῦ κρίνειν
d τε ἐθέλοντος καὶ δυναμένου καλῶς· ὅ τι γὰρ ἂν ἀπῇ τούτων, ἐξαπατηθέντος ἢ καταπροδόντος αὐτοῦ τὸ δίκαιον οἴχεσθαι πάντως ἀνάγκη.

Ἀλλ' ἐπειδὴ νῦν ἡμῖν τὰ μὲν τῶν δικαστῶν ὑπάρχει κατ' εὐχάς, λέγειν δὲ οὐκ ἔνι μὴ τότε ἐφέντας, ἀξιοῦσι τοῦτο πρῶτον αὐτοῖς ἀνεθῆναι, καὶ μὴ τὴν ἀπραγμοσύνην τοῦ τότε συνειπόντος τῇ πόλει καὶ τὴν δίκην ἐπιτροπεύσαντος αἰτίαν αὐτῇ γενέσθαι εἰς τὸν ἔπειτα αἰῶνα βλάβης τοσαύτης.

411 Ἄτοπον δὲ οὐ χρὴ νομίζειν τὸ τὴν δίκην αὖθις ἀνάδικον ποιεῖν. Τοῖς μὲν γὰρ ἰδιώταις συμφέρει τὸ κρεῖττον καὶ λυσιτελέστερον ὀλίγον παριδεῖν, τὴν εἰς τὸν ἔπειτα χρόνον ἀσφάλειαν ὠνουμένοις. Ὄντος γὰρ αὐτοῖς ὀλίγου βίου, ἡδὺ μὲν καὶ τὸ ἐπ' ὀλίγον ἡσυχίας ἀπολαῦσαι, φοβερὸν δὲ καὶ τὸ πρὸ τῶν δικαστηρίων ἀπολέσθαι κρινόμενον καὶ παισὶ
b παραπέμψαι τὴν δίκην ἀτελῆ· ὥστε κινδυνεύειν κρεῖσσον εἶναι τὸ καὶ ὁπωσοῦν προσλαβεῖν ἥμισυ ἢ περὶ τοῦ παντὸς

20 sq. cf. Hesiod. *Op.* 40.

V [V^d U Ald.]

1 αὐτῇ Hertlein : ..... VU αἰτίᾳ Ald. || δικαίως cod. : τὸ δίκαιον Hertlein || **3** ἀδικουμένοις U Ald. : ἀδι... μένοις (ut vid.) V || **4** τε Ald. : δὲ in τε a manu secunda corr. cod. || ὅ τι : ... VU ὁπότερον Ald. ; « fort. ὅ τι, nam ὁπότερον non capit spatium duarum triumve literarum relictum » Hertlein || **6** πάντως Ald. : ...τως V ... U || **8** οὐκ Ald. : ..κ V ..... U || **9** τοῦ Hertlein : ..ῦ V ... U αὐτοῦ Ald. || **11** εἰς U Ald. : ..ις V || **14** ἰδιώταις συμφέρει (ξυμφέρει Hercher) τὸ κρεῖττον Ald. : ἰδιώτα................ V ἰδι.......... U || **15/16** χρόνον ἀσφάλειαν Ald. : χρόνον .... U χρον...........V || **17** τὸ μετ' ὀλίγον (ἐπ' ὀλίγον Hercher) ἡσυχίας ἀπολαῦσαι Ald. : τ...ὀλίγον ησ.......λαῦσαι V τὸ .. ὀλίγον .... λαῦσαι U || **18** πρὸ : πρὸς Reiske || παισὶ Dübner : .... VU ..σὶ V^d om. Ald. ; <τοῖς> παισὶ malit Hercher || **19** κινδυνεύει Hercher

ἀγωνιζόμενον ἀποθανεῖν. Τὰς πόλεις δέ, ἀθανάτους οὔσας, εἰ μή τις δικαίως κρίνας τῆς πρὸς ἀλλήλας φιλονεικίας ἀπαλλάξει, ἀθάνατον ἔχειν τὴν δύσνοιαν πάντως ἀναγκαῖον, καὶ τὸ μῖσος ἰσχυρὸν τῷ χρόνῳ κρατυνόμενον Εἴρηται, φασὶν οἱ ῥήτορες, ὅ γ᾽ ἐμὸς λόγος· κρίνοις αὐτὸς τὰ δέοντα.

199 [ep. 70].

Ἰουλιανὸς Διογένει.

Διογένης ὁ σὸς υἱός, ὀφθείς μοι μετὰ τὴν ἔξοδον τὴν σὴν καὶ φήσας ὠργίσθαι σέ τι πρὸς αὐτόν, οἷον ἂν πατὴρ πρὸς παῖδα χαλεπήνειεν, ἐδεήθη μέσον με τῶν πρὸς αὐτὸν καταλλαγῶν παρὰ σοὶ γενέσθαι. Εἰ μὲν οὖν μέτρια καὶ οἷα δύνασθαι φέρειν ἥμαρτεν, εἶξον τῇ φύσει καί, τὸ πατὴρ εἶναι γνούς, ἐπάνελθε πρὸς τὸν παῖδα τῇ γνώμῃ· εἰ δέ τι μεῖζον ἔπταικεν ἢ οἷον δὴ πρὸς συγγνώμην ἐλθεῖν, αὐτὸς ἂν εἴης δικαιότερος κριτής, εἴτε δεῖ καὶ τοῦτο γενναίως ἐνεγκόντα νικῆσαι τοῦ παιδὸς τὴν βουλὴν γνώμῃ κρείττονι, εἴτε καὶ πλείονος χρόνου σωφρονισμῷ τὴν ἐπὶ τῷ πταισθέντι βάσανον πιστεῦσαι.

---

16 sq. cf. p. 250, 2.

[1-6] V[U Ald.] — **[8 sq.]** LY = g Z

4 post μῖσος margo abscissus, sed aliquid deesse non videtur in V; lacunam non indicat U: μῖσος < δὲ > Ald. μῖσος < ἐς > Keil an ἰσχυροῦν? || **5** post κρίνοις margo abscissus, sed aliquid deesse non videtur in V; lacunam non indicat U; κρίνοις < δ᾽ > Ald. κρίνοις < δ᾽ ἂν > Petau

8 ἰουλιανὸς διογένει L: διογένει Z διογένει περὶ τοῦ ἑαυτοῦ παιδὸς Y || **9** Διογένης Fabricius: διόγενες g et, post μοι transp., Z || ὁ om. rubricator in Z || υἱός om. L || **15** δὴ g: μὴ Z || **16** εἴτε: εἰ δὲ Z || δεῖ Z: δὴ g || **18** καὶ om. Z

200 [ep. 33].

404 d ᾿Ιουλιανὸς Δοσιθέῳ.

Μικροῦ με ἐπῆλθε δακρῦσαι, καίτοι γε ἐχρῆν εὐφημεῖν
405 τοὔνομα τὸ σὸν φθεγξάμενον· ἀνεμνήσθην γὰρ τοῦ γενναίου καὶ πάντα θαυμασίου πατρὸς ἡμῶν, ὃν εἰ μὲν ζηλώσειας, αὐτός τε εὐδαίμων ἔσῃ καὶ τῷ βίῳ δώσεις, ὥσπερ ἐκεῖνος, ἐφ᾽ ὅτῳ φιλοτιμήσεται· ῥαθυμήσας δέ, λυπήσεις μὲν ἐμέ, σαυτῷ δὲ ὅτε μηδὲν ὄφελος μέμψῃ.

201 [ep. 37].

Himerius praefectus Aegypti, idemque Graecae doctrinae et sapientiae cultor (p. 277, 2 sq.; cf. p. 275, 16 sq.), vix alius esse potest atque Iamblichi iunioris pater (Liban., *Epist.* 571) et sororis Sopatri iunioris vir (*ibid.*, 571 et 574), quem philosophia imbutum (*ibid.*, 574 sq., et 593) nihiloque minus muneribus publicis functum (*ibid.*, 573 : ᾿Ιαμβλίχου δὲ τὸν πατέρα μὲν ᾔδεις οὐκ ἀπὸ πλήθους μᾶλλον ἀρχῶν ἢ τῆς ἐν ταῖς ἀρχαῖς ἀρετῆς) et ante a. 357 decessisse (cf. *ibid.*, 571, et Seeck, BLZG, p. 184) novimus. Verisimile est eidem esse dedicatam epistulam quam citat Stobaeus (*Ecl.*, IV, 5, 51 ed. Hense).

412 a Ἱμερίῳ ἐπάρχῳ Αἰγύπτου ἐπὶ τῇ γυναικί.

Οὐκ ἀδακρυτί σου τὴν ἐπιστολὴν ἀνέγνων, ἣν ἐπὶ τῷ τῆς συνοικούσης θανάτῳ πεποίησαι, τοῦ πάθους τὴν ὑπερ-

---

[2-8] V[U] BΔ = r Z — [21 sq.] BΔ = r LY = g C

2 ἰουλιανὸς δοσιθέῳ V : δοσιθέῳ r om. Z || 3 με rZ : μοι V || ὑπῆλθε Z | γε om. Z | εὐφημεῖν B : ἐφημιῖν Δ ἐφ' ἡμῖν V om. Z || 5 τοῦ ante πατρὸς add. Z || ὑμῶν Reiske, qui epistulam a Iuliano revera scriptam esse credebat || 7 φιλοτιμήσεται ΔU : ..λοτιμήσεται V φιλοτιμήσῃ Z φιλοτιμεῖται B || μὲν om. VB || 8 σαυτὸν Z || ὅτε rZ : ὅτι V ; cf. Reiske : « *cum poenitentia nil amplius proderit* » || μέμψῃ UΔZ : .έμψῃ V μέμφῃ B

21 ἱμερίῳ (ἡμερίῳ B) ἐπάρχῳ αἰγύπτου ἐπὶ τῇ γυναικί r : ἱμερίῳ ἐπάρχῳ αἰγύπτου Y ἰουλιανὸς ἱμερίῳ L τατιανῷ a rubricatore erasum et ἀμερίῳ eiusdem manu C

βολὴν ἀναγγείλας. Πρὸς γὰρ τῷ καὶ καθ' ἑαυτὸ λύπης τὸ συμβὰν ἄξιον εἶναι, γυναῖκα νέαν καὶ σώφρονα καὶ θυμήρη τῷ γήμαντι, πρὸς δὲ καὶ παίδων ἱερῶν μητέρα, πρὸ ὥρας **b** ἀναρπασθῆναι, καθάπερ δᾷδα λαμπρῶς ἡμμένην, εἶτα ἐν ὀλίγῳ καταβαλοῦσαν τὴν φλόγα, ἔτι καὶ τὸ τοῦ πάθους ἴδιον εἰς σὲ τείνειν οὐχ ἧττόν μοι δοκεῖ λυπηρὸν εἶναι. Ἥκιστα γὰρ δὴ πάντων ἄξιος ἦν ὁ καλὸς ἡμῖν Ἱμέριος ἀλγεινοῦ τινος εἰς πεῖραν ἐλθεῖν, ἀνὴρ καὶ λόγῳ χρηστὸς καὶ ἡμῖν εἰς τὰ μάλιστα τῶν φίλων ὁ ποθεινότατος. Οὐ μὴν ἀλλ' εἰ μὲν ἕτερος ἦν, ᾧ γράφειν περὶ τούτων ἐχρῆν, **c** πάντως ἂν ἔδει μοι πλειόνων εἰς τοῦτον τῶν λόγων, τό τε συμβὰν ὡς ἀνθρώπινον καὶ τὸ φέρειν ὡς ἀναγκαῖον καὶ τὸ μηδὲν ἐκ τοῦ μᾶλλον ἀλγεῖν ἔχειν πλέον εὑρεῖν, καὶ πάντα ὅσα ἐδόκει πρὸς τὴν τοῦ πάθους παραμυθίαν ἁρμόττειν ὡς ἀγνοοῦντα διδάσκοντι· ἐπεὶ δὲ αἰσχρὸν ἡγοῦμαι πρὸς ἄνδρα τοὺς ἄλλους νουθετεῖν εἰδότα ποιεῖσθαι λόγους, οἷς χρὴ τοὺς <μὴ> εἰδότας σωφρονεῖν [καὶ] παιδεύειν, φέρε **d** σοι τὰ ἄλλα παρεὶς ἀνδρὸς εἴπω σοφοῦ μῦθον, εἴτε δὴ λόγον ἀληθῆ, σοὶ μὲν ἴσως οὐ ξένον, τοῖς πλείοσι δέ, ὡς εἰκός, ἄγνωστον, ᾧ δὴ καὶ μόνῳ χρησάμενος ὥσπερ φαρμάκῳ νηπενθεῖ λύσιν ἂν εὕροις τοῦ πάθους οὐκ ἐλάττω τῆς κύλικος, ἣν ἡ Λάκαινα τῷ Τηλεμάχῳ πρὸς τὸ ἴσον τῆς χρείας

---

22 sq. Homer. δ 219 sq.

BΔ = r LY [Y desinit 21 πάθους] = g C

1 ἀναγγείλας ΔL : ἀπαγγείλας Y ἀγγείλας BC ‖ 1 Πρός — 2 εἶναι om. Y ‖ 1 τῷ καὶ : τὸ L ‖ ἑαυτόν L ‖ 2 ξυμβὰν gC ; cf. infra v. 12 ‖ καὶ σώφρονα : ἀποβάλλων σώφρονά τε Y ‖ 3 ἱερῶν : νεκρῶν Friederich, sed cf. p. 245, 22 etc. ‖ 4 ἀναρπασθεῖσαν Y ‖ λαμπρός L om. C ‖ 5 ἔτι — 6 εἶναι om. Y ‖ 5 τὸ om. L ‖ 6 ἴδιον rL : om. C ‖ τείνειν Hertlein : τεῖνον codd. ‖ 7 γὰρ om. g ‖ ἡμῶν codd., corr. Hertlein ‖ ἱμέριος ἡμῶν transp. Y ‖ ἀμέριος C ‖ 10 περὶ r : ὑπὲρ g ἐπὶ C ‖ 11 τοῦτο rC ‖ [τῶν] Ald. ‖ 13 [εὑρεῖν] Hercher : sed cf. p. 276, 21 ‖ 14 ὅσα <ἂν> P. Thomas ‖ 15 αἰσχρὸν Hertlein : αἴσχιον codd. ‖ 17 <μὴ> Ald. ‖ [καὶ] Reiske ‖ 18 τἄλλα g ‖ <εἴτ'> εἴπω Hertlein ‖ σοφιστοῦ g ‖ 20 ὥσπερ : καθάπερ g ‖ 21 οὐκ — p. 276, 21 εὑρεῖν om. Y

413 ὀρέξαι πιστεύεται. Φασὶ γὰρ Δημόκριτον τὸν Ἀβδηρίτην, ἐπειδὴ Δαρείῳ γυναικὸς καλῆς ἀλγοῦντι θάνατον οὐκ εἶχεν ὅ τι ἂν εἰπὼν εἰς παραμυθίαν ἀρκέσειεν, ὑποσχέσθαι οἱ τὴν ἀπελθοῦσαν εἰς φῶς ἀνάξειν, ἢν ἐθελήσῃ τῶν εἰς τὴν χρείαν ἡκόντων ὑποστῆναι τὴν χορηγίαν. Κελεύσαντος δὲ ἐκείνου μὴ φείσασθαι μηδενὸς ὅ τι ἂν ἐξῇ λαβόντα τὴν
b ὑπόσχεσιν ἐμπεδῶσαι, μικρὸν ἐπισχόντα χρόνον εἰπεῖν ὅτι τὰ μὲν ἄλλα αὐτῷ πρὸς τὴν τοῦ ἔργου πρᾶξιν συμπορισθείη, μόνου δὲ ἑνὸς προσδέοιτο, ὃ δὴ αὐτὸν μὲν οὐκ ἔχειν ὅπως ἂν λάβοι, Δαρεῖον δὲ ὡς βασιλέα τῆς ὅλης Ἀσίας οὐ χαλεπὸν ἂν ἴσως εὑρεῖν. Ἐρομένου δὲ ἐκείνου τί ἂν εἴη τοσοῦτον ὃ μόνῳ βασιλεῖ γνωσθῆναι συγχωρεῖται, ὑπολαβόντα φῆσαι τὸν Δημόκριτον, εἰ τριῶν ἀπενθήτων ὀνόματα τῷ τάφῳ τῆς γυναικὸς ἐπιγράψειεν, εὐθὺς αὐτὴν ἀναβιώ-
c σεσθαι τῷ τῆς τελετῆς νόμῳ δυσωπουμένην. Ἀπορήσαντος δὲ ἐπὶ πολὺ τοῦ Δαρείου καὶ μηδένα ἄνδρα δυνηθέντος εὑρεῖν ὅτῳ μὴ καὶ παθεῖν λυπηρόν τι συνηνέχθη, γελάσαντα συνήθως τὸν Δημόκριτον εἰπεῖν· « τί οὖν, ὦ πάντων ἀτοπώτατε, θρηνεῖς ἀνέδην ὡς μόνος ἀλγεινῷ τοσούτῳ συμπλακείς, ὁ μηδὲ ἕνα τῶν πώποτε γεγονότων ἄμοιρον οἰκείου πάθους ἔχων εὑρεῖν; »

---

1 sq. cf. Diels, *Fragm. der Vorsokratiker*. 55 (*Demokritos*) A 20: unde hauserit epistolographus incertum; similem historiam praebet Lucian. *Demonact.* 25.

BΔ = r L C V[incipit 20 τῶν πώποτε]

1 ὀρέξασθαι C ‖ αὐδηρίτην codd., corr. Martinius ‖ 6 μηδενὸς om. C ‖ ὅ τι <δ'> ἂν Martinius ‖ 10 λάβῃ r ‖ ὅλης τῆς transp. Martinius ‖ 11 χαλεπῶς C ‖ 13 φῆσαι rL : φασὶ C ‖ 14/15 ἀναβιώσασθαι L ‖ 15 τελετῆς r : τελευτῆς LC ‖ δυσωπουμένης C ‖ 15/16 ἐπὶ πολὺ δ' ἀπορήσαντος transp. L ‖ 16 ἐπὶ πολὺ om. C : cf. Lucian. *l. l.* : ἐπὶ πολὺ δὲ ἐκείνου ἐνδοιάσαντος καὶ ἀποροῦντος ‖ μηδὲ ἕνα Δ ‖ ἄνδρα codd. : ἄρα Hercher ‖ 17 τι om. L ‖ 18 τί οὖν r : ὅτι C om. L ‖ 19 ἀναίδην C et, in ἀνέδην corr., L ‖ 20 ὁ Ald : ὡς codd.

Ἀλλὰ ταῦτα μὲν ἀκούειν ἐδεῖτο Δαρεῖος, ἀνὴρ βάρβαρος καὶ ἀπαίδευτος, ἔκδοτος ἡδονῇ καὶ πάθει· σὲ δέ, ἄνδρα Ἕλληνα καὶ παιδείαν ἀληθῆ πρεσβεύοντα, καὶ παρὰ σαυτοῦ τὸ ἄκος ἔχειν ἐχρῆν, ἐπεὶ καὶ ἄλλως αἰσχύνη τῷ λογισμῷ γένοιτ' ἄν, εἰ μὴ ταὐτὸν σθένοι τῷ χρόνῳ. d

---

202 [ep. 66].

Spuriam esse hanc « arrogantiam spirantem » epistulam iamdudum viri docti viderunt. De litteris revera ab imperatore Iuliano ad Arsacem scriptis, et de iis (ab his diversis?) quae quinto saeculo sub eius nomine circumferebantur et a Sozomeno (VI, 1, 2 sq.) excerptae sunt, cf. supra ep. 93, p. 149 sq. Haec certe, sicut ep. 203 et 205, ex historia imperatoris fabulosa deprompta esse videntur.

Ἀρσάκῃ Ἀρμενίων σατράπῃ.

Ἐπείχθητι πρὸς τὴν τῶν πολεμίων παράταξιν, Ἀρσάκιε, θᾶττον ἢ λόγος, τὴν δεξιὰν κατὰ τῆς Περσικῆς μανίας ὁπλίσας. Ἡ γὰρ ἡμετέρα παρασκευή τε καὶ προθυμία δυοῖν θάτερον βεβούλευται, ἢ τὸ χρεὼν ἀποδοῦναι ἐπὶ τῆς Παρθυαίων ἐνορίας τὰ μέγιστα διαπραξαμένους καὶ τὰ δεινότατα διαθεμένους τοὺς ἀντιπάλους, ἢ τούτους χειρωσαμένους, πρυτανευόντων ἡμῖν τῶν θεῶν, καλλινίκους ἐπανελθεῖν ἐπὶ τὴν ἐνεγκαμένην, τρόπαια κατὰ τῶν πολεμίων ἐγείραντας. Πᾶσαν οὖν ῥαστώνην καὶ φενακισμὸν ἀποθέμενος, καὶ τὸν μακαρίτην ἐκεῖνον Κωνσταντῖνον καὶ

[1-5] BΔ=r LY=g V C — [14 sq.] ALM

1/2 ἔδει Δαρεῖον, ἄνδρα βάρβαρον καὶ ἀπαίδευτον, ἔκδοτον Hercher || 4 ἄκος Hercher : εἰκός codd. || ἔχειν ἐχρῆν rg : ἔχειν ἄρχειν C ἀργὸν ἔχειν V || 4/5 τῷ λογισμῷ Hercher : τοῦ λογισμοῦ codd. || 5 σθένοι τῷ Cobet : γένοιτο rgV γένοιτ' ἂν τῷ C δύναιτο τῷ Ald.

14 titulum om. L || Ἀρσακίῳ Sozomen. *l. l.*, recte? cf. v. 15 sq. || 15 τῶν πολεμίων om. A || 19 καὶ τὰ — 20 διαθεμένους om. LM || 20 διατιθεμένους cod., corr. Sintenis || 22 an <τὴν> τῶν?

τὰς τῶν εὖ γεγονότων περιουσίας, τὰς εἴς σέ τε καὶ τοὺς ὁμοτρόπους σοι βαρβάρους ὑπὸ τοῦ ἀδροτάτου καὶ πολυετοῦς Κωνσταντίου κενωθείσας *** νῦν μοι τὸν Ἰουλιανόν, τὸν ἀρχιερέα, τὸν Καίσαρα, τὸν Αὔγουστον, τὸν θεῶν τε καὶ Ἄρεως θεραπευτὴν ἐννόησον, τὸν Φραγκῶν τε καὶ βαρβάρων ὀλετῆρα, τὸν Γάλλων τε καὶ Ἰταλῶν ἐλευθερωτήν. Εἰ δὲ ἕτερόν τι βουλεύσαιο (πυνθάνομαι γὰρ εἶναί σε πανοῦργον καὶ κακὸν στρατιώτην καὶ ἀλαζόνα, ὡς τὰ παρόντα μοι πράγματα δείκνυσιν· ἐχθρὸν γάρ τινα τῆς κοινῆς λυσιτελείας λανθάνοντα ἀποκρύπτειν παρὰ σοὶ πειρᾷ), [καὶ] τέως μὲν τοῦτο ὑπερτίθεμαι διὰ τὴν τοῦ πολέμου τύχην· ἀρκεῖ γὰρ ἡμῖν ἡ τῶν θεῶν συμμαχία πρὸς τὴν τῶν πολεμίων καθαίρεσιν. Εἰ δέ τι τὰ τῆς εἱμαρμένης κρίνειε (θεῶν γὰρ βούλησις ἡ ταύτης ἐξουσία), ἀδεῶς καὶ γενναίως οἴσω τοῦτο· ἴσθι δὲ ὡς σὺ μὲν πάρεργον ἔσῃ τῆς Περσικῆς χειρός, συναφθείσης σοι παγγενεὶ τῆς ἑστίας καὶ τῆς Ἀρμενίων ἀρχῆς· κοινωνήσει δέ σοι τῆς δυστυχίας καὶ ἡ Νισιβίων πόλις, τῶν οὐρανίων θεῶν τοῦτο πάλαι ἡμῖν προαγορευσάντων.

203

Ad Tiranem.

Ficticiam hanc epistulam servavit Moyses Choren., III, 15

---

1 sq. cf. Ammian. Marc. XX 11, 1-3

ALM

2|3 πολυετοῦς codd. : πολυτελοῦς Sintenis ἀσεβοῦς Teuffel e Sozomen. *l. l.* : Κωνσταντίῳ... ὡς ἀνάνδρῳ καὶ ἀσεβεῖ λοιδορησάμενος || 3 κενωθείσας <χαίρειν ἐάσας> vel aliquid simile P. Thomas; lacunam significavimus | μοι codd. : σοι Muratori με Fabricius || 5 ἐννόησον codd. : εὐνόησον Muratori || φραγκτῶν AL φραγκτρῶν M, corr. Muratori || 8 ὡς <καὶ> Klimek || 9 κοινῆς : παρούσης L et, κοινῆς supra scripto, M || 10 πειρᾷ AL : πειράσῃ M πειρᾷς Muratori || 11 [καὶ] Reiske || 12 τῶν² : τῷ L || 15 πάρεργον : cf. Iulian. 326 A, Pausan. X 27, 2 etc. || 18 ἡ Νισιβίων Hercher : ἡ νισιβίων M ἡ νησιβίων in ἡ νησιβίνων corr. A ἣν ἡσιβίων L

(Langlois, *Histor. de l'Arménie*, II, 140); versionem ex Armeniaca lingua Graecam nobis composuit F. C. Conybeare.

Αὐτοκράτωρ Ἰουλιανός, τέκνον Ἰνάχου,
Διὸς υἱὸς καὶ πεπρωμένος εἰς ἀθανασίαν,
Τιράνῃ ἡμετέρῳ τοπάρχῃ χαίρειν.

Τὸν στρατόν, ὃν ἔπεμψας πρὸς ἡμᾶς, λαβὼν ὁ στρατηγὸς αὐτῶν ἐλιποτάξησε. Καὶ ἡμεῖς μὲν ἐδυνήθημεν <ἂν> ἐξ ἀναριθμήτων λεγεώνων ἡμῶν μεταπέμψαντες κρατεῖν αὐτῶν, ἀλλ' εἰάσαμεν δυοῖν ἕνεκα· πρῶτον μή πως εἴποιεν περὶ ἡμῶν οἱ Πέρσαι ὅτι βίᾳ καὶ οὐχ ἑκουσίως ἄγει τὸν στρατόν, δεύτερον δὲ τοῦ πειρᾶσθαι τῆς σῆς ἀκεραιότητος. Εἰ μὲν οὖν οὐ κατὰ κέλευσίν σου (vel : οὐκ ἐκ σοῦ θελήματος) τοῦτ' ἐποίησε, ἀναιρήσεις αὐτὸν μετὰ παντὸς τοῦ γένους, ὥστε μὴ παραλιπεῖν αὐτῷ ἀπόγονον· εἰ δὲ μή, νὴ τὸν Ἄρη, τὸν τὴν βασιλείαν χαρισάμενον ἡμῖν, καὶ τὴν Ἀθηνᾶν <καὶ> τὴν Νίκην, ἐπανελθόντες ἡμεῖς ἀνικήτῳ δυνάμει ἀπολοῦμεν καί σε καὶ τὴν χώραν σου.

204 [ep. 25].

A Iuliano abiudicandam esse hanc epistulam sermo turgidus atque inconcinnus aperte declarat, neque eo confugere possumus, ut dicamus eam iubente imperatore ab amanuensi compositam esse. Nam, si conficta non esset, principis ipsius eam esse ex eius sententiis pateret. Revera paulo post aetatem Iuliani scripta est, nam a Sozomeno memoratur (cf. adn. ad p. 281, 8), nisi huius auctoris verba potius ad ep. 134 referenda sunt. Eam confecisse videtur homo Iudaeus (cf. p. 281, 19 : πόλιν ἁγίαν Ἱερουσαλήμ [non Ἱεροσόλυμα] et p. 281, 4 : τὴν... ἀποστολὴν [cf. *Cod. Theodos.*, XVI, 8, 14], etc.), Veteris Testamenti peritior quam classicarum litterarum. Scriptor hoc consilium habuisse videtur ut popularibus suis immunitatem vel certe remissionem consequeretur tributorum, quae non tantum publice, sed etiam ipsorum

15 cf. p. 55, 34 sq.

patriarchae iniquo animo pendebant. Praeter has litteras aliae genuinae Iuliani ad Iudaeos exstabant (cf. supra p. 193 sq.). quas fortasse in usum suum falsarius hic noster convertit. Nam similitudo versuum p. 280, 21 sq. cum ep. 33 (p. 41, 2 sq.) indicium praebet imitationis et sententia quaedam Iulianea hic descripta esse videtur. — Post alios J. Juster (*Les Juifs sous l'Empire romain*, I, 1914, p. 159) hanc epistulam contra dubitationes tueri studuit perperam. Etenim Iuliani scribae ab epistulis sermonem LXX interpretum non affectabant.

396 d ## Ἰουλιανὸς Ἰουδαίων τῷ κοινῷ.

Πάνυ ὑμῖν φορτικώτερον γεγένηται ἢ ἐπὶ τῶν παρῳχη-
κότων καιρῶν τὸ ζυγὸν τῆς δουλείας τὸ δὴ διαγραφαῖς
ἀκηρύκτοις ὑποτάττεσθαι ὑμᾶς καὶ χρυσίου πλῆθος ἄφατον
397 εἰσκομίζειν τοῖς τοῦ ταμείου λόγοις· ὧν πολλὰ μὲν αὐτο-
ψεὶ ἐθεώρουν, πλείονα δὲ τούτων ἔμαθον, εὑρὼν τὰ βρέβια
τὰ καθ' ὑμῶν φυλαττόμενα. Ἔτι δὲ καὶ μέλλουσαν πάλιν
εἰσφορὰν καθ' ὑμῶν προστάττεσθαι εἶρξα, καὶ τὸ τῆς
τοιαύτης δυσφημίας ἀσέβημα ἐνταῦθα ἐβιασάμην στῆσαι,
καὶ πυρὶ παρέδωκα τὰ βρέβια τὰ καθ' ὑμῶν ἐν τοῖς ἐμοῖς
σκρινίοις ἀποκείμενα, ὡς μηκέτι δύνασθαι καθ' ὑμῶν τινὰ
b τοιαύτην ἀκοντίζειν ἀσεβείας φήμην. Καὶ τούτων μὲν
ὑμῖν οὐ τοσοῦτον αἴτιος κατέστη ὁ τῆς μνήμης ἄξιος
Κωνστάντιος ὁ ἀδελφός, ὅσον οἱ τὴν γνώμην βάρβαροι καὶ
τὴν ψυχὴν ἄθεοι, οἱ τὴν τούτου τράπεζαν ἑστιώμενοι· οὓς
ἐγὼ μὲν ἐν χερσὶν ἐμαῖς λαβόμενος εἰς βόθρον ὤσας ὤλεσα,

25 (βόθρος ᾅδου) cf. Sirach 21, 10. *Psalm.* 93, 13, etc.

V [U Ald.]

10 εἰ γνήσιος post τῷ κοινῷ add. Ald. || **11** γεγένηται ἢ scripsimus: γεγέν... | V γεγένηται U Ald. || **11/12** παρῳχηκότων καιρῶν Ald.: παρ.........ιρῶν V παρω..........ρῶν U || **12** τῶν ζυγῶν cod., correximus || δὴ e corr. V δὲ U om. Ald. [δὴ] Reiske || **13** ἀκηρύκτοις ὑποτάττεσθαι Ald.: ἀκ...ἴτοις υ..πλάττεσθαι, τά supra πλά scripto, V ἀκ......... πράττεσθαι U || **14** λόγοις Ald.: ...οις V......U || **17** προτάττεσθαι cod., corr. Klimek || **18** στῆναι Klimek

ὡς μηδὲ μνήμην ἔτι φέρεσθαι ἢ εἶναι παρ᾽ ἡμῖν τῆς αὐτῶν ἀπωλείας. Ἐπὶ πλέον δὲ ὑμᾶς εὐωχεῖσθαι βουλόμενος, τὸν ἀδελφὸν Ἴουλον, τὸν αἰδεσιμώτατον πατριάρχην, παρήνεσα c καὶ τὴν λεγομένην [εἶναι] παρ᾽ ὑμῖν ἀποστολὴν κωλυθῆναι, καὶ μηκέτι δύνασθαι τὰ πλήθη ὑμῶν τινὰ ἀδικεῖν τοιαύταις φόρων εἰσπράξεσιν, ὡς πανταχόθεν ὑμῖν τὸ ἀμέριμνον ὑπάρχειν, τῆς ἐμῆς βασιλείας ἵνα ἀπολαύοντες ... ἔτι μείζονας εὐχὰς ποιῆτε <ὑπὲρ> τῆς ἐμῆς βασιλείας τῷ πάντων κρείττονι καὶ δημιουργῷ θεῷ, τῷ καταξιώσαντι στέψαι με τῇ ἀχράντῳ αὐτοῦ δεξιᾷ. Πέφυκε γὰρ τοὺς ἔν d τινι μερίμνῃ ἐξεταζομένους περισπᾶσθαι τὴν διάνοιαν καὶ μὴ τοσοῦτον εἰς τὴν προσευχὴν τὰς χεῖρας ἀνατείνειν τολμᾶν, τοὺς δὲ πανταχόθεν ἔχοντας τὸ ἀμέριμνον, ὁλοκλήρῳ ψυχῇ χαίροντας, ὑπὲρ τοῦ βασιλείου ἱκετηρίους λατρείας ποιεῖσθαι τῷ μείζονι, τῷ δυναμένῳ κατευθῦναι τὴν βασιλείαν ἡμῶν ἐπὶ τὰ κάλλιστα, καθάπερ προαιρούμεθα. Ὅπερ χρὴ ποιεῖν ὑμᾶς, ἵνα κἀγώ, τὸν τῶν Περσῶν πόλεμον διορθωσάμενος, τὴν ἐκ πολλῶν ἐτῶν ἐπιθυμουμένην 398 παρ᾽ ὑμῶν ἰδεῖν οἰκουμένην πόλιν ἁγίαν Ἱερουσαλὴμ

---

2 εὐωχεῖσθαι cf. Macchab. III 6, 40 etc. || **8** sq. cf. Sozomen. V 22, 1 || **15** sq. cf. *Paralip.* II 17, 5. Esth. 8, 16.

V [V^d U Ald]

1 μηδὲ Hercher : μήτε cod. || [ἢ εἶναι] Heyler: an ἢ περιεῖναι? || παρ᾽ ἡμῖν Ald. : παρ᾽ ὑμῖν cod. || **3** « circa παρήνεσα deest aliquid » Reiske || **4** καὶ cod. : ὡς Naber || λεγομένην Ald.: ....μένην VU || εἶναι uncis inclusimus || **5** ὑμῶν τινὰ Ald. : .μῶν.... V ὑμῶν τινὰς V^d .... U || **6** ἀμέριμνον Ald. : ἀμέ...νον VU ; cf. v. 13 || **7** [τῆς ἐμῆς βασιλείας] P. Thomas ; <ἐπὶ> τῆς ἐ. β. Reiske || ἀπολαύοντες <εἰρήνης> Reiske <ἡσυχίας> P. Thomas ; plura desunt || **8** ποιῆσθε Hertlein <ὑπὲρ> Reiske ; cf. v. 14 sq. et Sozomen. *l. l.* : ἔγραψεν εὔχεσθαι ὑπὲρ αὐτοῦ καὶ τῆς αὐτοῦ βασιλείας || **10** τῇ ἀχράντῳ U Ald. : ...χράντω V || **11** περισπᾶσθαι scripsimus : περι ...σθαι (vestigia litterarum quadrant magis cum ᾶ quam cum εῖ) V περι...σθαι U περιδεῖσθαι Ald. περιδινεῖσθαι Reiske || **13** πανταχόθεν U Ald. : ...ταχόθεν V || **16** ἡμῶν Hertlein : ..ῶν V .... U om. Ald. || **17** τῶν U Ald. : ... V || **19** παρ᾽ ὑμῖν cod., corr. Reiske || οἰκουμένην U Ald.: ...κουμένην V

ἐμοῖς καμάτοις ἀνοικοδομήσας οἰκίσω. καὶ ἐν αὐτῇ δόξαν δῶ μεθ' ὑμῶν τῷ κρείττονι.

Ad Basilium.

De crebris Iuliani ad Basilium episcopum epistulis testimonium hoc omittere nequaquam licebat, etsi istiusmodi auctori non magna habenda est fides (cf. supra ep. 32):

Chronic. Paschal., a. 363, p. 552, 10 ed. Bonn. : Ἐτίμα δὲ αὐτὸν (scil. τὸν ὁσιώτατον Βασίλειον) ὁ Ἰουλιανὸς ὡς ἐλλόγιμον καὶ ὡς συμπράκτορα αὐτοῦ, καὶ ἔγραφεν αὐτῷ συνεχῶς.

205 [ep. 75].

Spurias esse has litteras nullus est hodie qui neget, et iam Byzantino aevo scholiasta anonymus hoc agnovit (cf. PG 32, 341, adn. : Οὔτε τῷ ἤθει, οὔτε τῷ χαρακτῆρι, οὔτε μὴν τῇ λέξει τῆς ἑρμηνείας δοκοῦσί μοι προσήκειν αἱ δύο αὗται ἐπιστολαὶ τοῖς ἄνδρασιν οἷς ἀνάκεινται). Haec fortasse deprompta sunt ex historia Iuliani fabulosa, qualis Graece quidem non exstat, sed Syriace superest. — Innumeras variantes lectiones, quibus scatent diversae huius elucubrationis retractationes, in apparatu critico describere supervacaneum visum est. Cum iis quae Heyler et Hertlein adnotaverunt cf. Basilii Magni *Epist.* 40 sq. (Basil. *Op.*, ed. Garnier, 1730, III, 123 sq., PG 32, 341 sq. [= ed.). — Nostrorum Iuliani codicum AL textum hic describimus, paucissimis, ut videtur, adulterationibus depravatum.

Ἰουλιανὸς βασιλεὺς Βασιλείῳ.

Τὸ ἔμφυτον ἐκ παιδόθεν γαληνὸν καὶ φιλάνθρωπον μέχρι

---

1 sq. cf. *Psalm.* 67, 35.

[1—2] V [U Ald.] — [26 sq.] A L

1 καὶ ἐν Ald.: ... ἐν VU || 2 δώσω cod., corr. Hertlein
26 βασιλεὺς om. L

γε τοῦ παρόντος ἐπιδεικνύμενος, πάντας ὑπηκόους ἐκομισάμην τοὺς οἰκοῦντας τὴν ὑφ' ἥλιον. Ἰδοὺ γὰρ πᾶν γένος βαρβάρων μέχρις ὁρίων Ὠκεανοῦ ποταμοῦ δῶρά μοι κομίζον ἧκε παρὰ ποσὶ τοῖς ἐμοῖς, ὁμοίως δὲ καὶ Σαγάδαρες οἱ παρὰ τὸν Δάνουβιν ἐκτραφέντες, οἱ εὐμορφοποικιλοκαθαρόμορφοι, οἷς οὐκ ἔστι θέα ὁμοιοειδὴς ἀνθρώπων, ἀλλὰ μορφὴ ἀγριαίνουσα. Οὗτοι κατὰ τὴν ἐνεστῶσαν προκαλινδοῦνται ἴχνεσι τοῖς ἐμοῖς, ὑπισχνούμενοί μοι ποιεῖν ἐκεῖνα, ἅπερ τῇ ἐμῇ ἁρμόζει βασιλείᾳ. Οὐχὶ δὲ ἐν τούτῳ μόνῳ ἕλκομαι, ἀλλὰ δεῖ με σὺν πολλῷ τῷ τάχει καταλαβεῖν τὴν Περσῶν καὶ τροπώσασθαι Σάπωριν ἐκεῖνον τὸν ἀπόγονον Δαρείου γεγονότα, ἄχρις οὗ ὑπόφορος καὶ ὑποτελής μοι γένηται· ἐν ταὐτῷ καὶ τὴν Ἰνδῶν καὶ Σαρακηνῶν περιοικίδα ἐκπορθῆσαι, ἄχρις οὗτοι πάντες ἐν δευτέρᾳ τάξει τῆς ἐμῆς γένωνται ὑπόφοροι καὶ ὑποτελεῖς. Ἀλλ' αὐτὸς ἐπέκεινα τῆς τούτων δυνάμεως πεφρόνηκας, εὐλάβειαν λέγων ἐνδεδύσθαι, ἀναίδειαν δὲ προβαλλόμενος καὶ πανταχοῦ διαφημίζων ἀνάξιόν με τῆς τῶν Ῥωμαίων βασιλείας γεγονέναι. Ἢ οὐκ οἶσθα αὐτὸς ὡς Κώνσταν τοῦ κρατίστου ἀπόγονος γέγονα; Καὶ τούτων οὕτως γνωσθέντων ἡμῖν σοῦ ἕνεκα, οὐδὲ τῆς προτέρας ἐξέστημεν διαθέσεως, ἧσπερ ἔτι νέοι ὄντες τῇ ἡλικίᾳ ἐγώ τε καὶ σὺ μετεσχήκαμεν, ἀλλὰ γαληνῷ τῷ φρονήματι θεσπίζω δέκα ἑκατοντάδας χρυσίου λιτρῶν ἐξαποσταλῆναί μοι παρὰ σοῦ ἔν γε τῇ παρόδῳ μου τῇ κατὰ τὴν Καίσαρος, ἔτι μου κατὰ τὴν λεωφόρον ὑπάρχοντος, σὺν πολλῷ τῷ τάχει ἀφικνουμένου μου κατὰ τὴν Περσῶν, ἑτοίμου ὄντος μου, εἰ μὴ τοῦτο ποιήσεις, πάντα τόπον

A L

4 σαδάγαρες A || παρὰ A : περὶ L || **5** δανούβιον A || **5 6** εὐμορφοποικιλοκαρόμορφοι L « ποικιλοκανθαρόμορφοι forma similes scarabaeis variegatis " Reiske || **8** ἐκεῖνα om. L || **10** τὴν A : τῆς L || **11** Σάπωριν ed. : σάπαριν L σαβόριον A || **13** ἐν ταὐτῷ A : ἐνταῦθα L || τῶν σαρακηνῶν L τὴν Σαρακηνῶν ed. || **14** οὗτοι : οὗ Fabricius || **16** πεφρόντικας A || **19** κώνσταν A : κώνστα L Κωνσταντίου ed. || **21** νέοι ἔτι transp. L || **24** γε scripsimus : τε codd. || μου om. L || **26** τὴν L : τῶν A

ἀνασκευάσαι τῆς Καίσαρος, καὶ τὰ πάλαι αὐτῆς ἐγηγερμένα καλλιουργήματα καταστρέψαι κατὰ τόπον, ναούς τε καὶ ἀγάλματα ἀναστῆσαι, ὥστε με πεῖσαι πάντας εἴκειν βασιλεῖ Ῥωμαίων καὶ μὴ ὑπεραίρεσθαι. Τὸ οὖν ἐξονομασθὲν χρυσίον ἐξαριθμοζυγοκαμπανοτρυτανίσας καὶ διαμετρήσας ἀσφαλῶς ἐξαπόστειλαί μοι, εἰ συνίδῃς, δι' οἰκείου πιστοῦ σοι ὄντος, δακτυλίῳ τῷ σῷ σφραγισάμενος, ὥστε με ἐπεγνωκότι κἂν ὀψέ ποτε τοῦ καιροῦ τὸ ἀπαραίτητον γαληνόν σοι γενέσθαι περὶ τὰ ἐπταισμένα.

Βασίλειος Ἰουλιανῷ.

Μικρά σοι τὰ τῆς παρούσης τύχης ἀνδραγαθήματα καὶ φαῦλα τὰ τῆς ἀριστείας, ἧς αὐτὸς ἠρίστευσας καθ' ἡμῶν, οὐχὶ δὲ καθ' ἡμῶν, ἀλλὰ καθ' ἑαυτοῦ. Ἐγὼ δὲ τρόμῳ συνέχομαι, ὅταν λάβω κατὰ νοῦν πορφυρίδα σε περιβεβλῆσθαι [ὅπερ ἐστὶ βασιλικὸν πρόβλημα], στεφάνῳ δέ σου τὴν ἄτιμον κεκοσμῆσθαι κεφαλήν, ὅπερ δίχα εὐσεβείας οὐκ ἔντιμον, ἀλλ' ἄτιμον καθίστησί σου τὴν βασιλείαν. Ἀλλ' αὐτὸς ἐπανελθὼν καὶ ὑπερμεγέθης γενόμενος, ὥς γε φαῦλοι καὶ μισόκαλοι δαίμονες εἵλκυσάν σε εἰς τοῦτο, οὐ μόνον ὑπὲρ πᾶσαν φύσιν ἀνθρώπων φρονεῖν ἤρξω, ἀλλὰ καὶ εἰς Θεὸν ὑπεραίρεσθαι, καὶ τὴν πάντων μητέρα καὶ τιθηνὸν ἐκκλησίαν ἐνυβρίζειν, μηνύσει χρησάμενος πρός με τὸν εὐτελέστατον χιλιάδα χρυσίου λιτρῶν ἐξαποσταλῆναί σοι παρ' ἐμοῦ. Καὶ ἡ μὲν τοῦ χρυσίου ὁλκὴ οὐκ ἐθάμβησέ μου τὴν διάνοιαν, εἰ καὶ μάλα πολλὴ καθέστηκεν, ἀλλὰ δακρῦσαί με πικρῶς παρεσκεύασεν ἐπὶ τῇ τοιαύτῃ ταχίστῃ σου ἀπωλείᾳ. Ἐντεθύμημαι γὰρ κατ' ἐμαυτὸν ὡς ἐγώ τε αὐτὸς καὶ ἡ σὴ

A L

6 ἐξαπόστειλόν μοι ed. || συνειδῃς (sic) A || 7 σοι ed.: σου codd. || με om. A || 8 ἐπεγνωκότι ed.: ἐπεγνωκότα codd. || 8/9 γαλήνιον L || 15 glossam ὅπερ — πρόβλημα om. ed. || σου om. A || 17 σου τὴν L: αὐτὴν A || 20 φρονεῖν ἤρξω ed.: om. codd. || 22 ὑβρίζειν L || 26 τοιαύτῃ om. A || 27 καθ' ἑαυτὸν L

καλοκαγαθία κοινῶς μεμαθήκαμεν τὰ ἱερὰ καὶ βέλτιστα γράμματα. Ἑκάτεροι δὲ διεξήλθομεν τὰς ἁγίας καὶ θεοπνεύστους γραφάς, καὶ ἐλάνθανε μέν σε τότε οὐδέν· ἐπὶ δὲ τοῦ παρόντος ἀκόσμητος καθέστηκας, ὑπὸ τοῦ τοιούτου φρονήματος στρατοπεδευθείς. Ἤιδεις ἡμᾶς πρὸ τῆς χθές, γαληνότατε, ἐπ' ἀπληστίᾳ χρημάτων μὴ πολιτεύεσθαι· νῦν δὲ κατὰ τὴν ἐνεστῶσαν δέκα ἑκατοντάδας χρυσίου λιτρῶν ἐπεζήτησας παρ' ἡμῶν. Φείσασθαι ἡμῶν τοίνυν θέλησον, γαληνότατε, τοσαῦτα κεκτημένων ὅσα, ἂν τήμερον θελήσωμεν φαγεῖν, οὐκ ἐξαρκέσει ἡμῖν. Ἀργεῖ γάρ, ὡς εἰκός, παρ' ἡμῖν μαγείρων τέχνη, μάχαιρα δὲ αὐτῶν αἵμασιν οὐ προσομιλεῖ. Τὰ βέλτιστα τῶν παρ' ἡμῖν βρωμάτων, ἐν οἷς ἡ δαψίλεια, χόρτων φύλλα σὺν ἄρτῳ τραχυτάτῳ καὶ τῷ ἐξεστηκότι οἴνῳ, ὥστε μὴ ἐκθαμβεῖσθαι ἡμῶν τὰ αἰσθητήρια ὑπὸ τῆς γαστριμαργίας ἐπ' ἀφροσύνῃ μὴ πολιτεύεσθαι.

Ἀπήγγειλε δέ μοι καὶ τοῦτο Λαῦσος ὁ περίβλεπτος τριβοῦνος, ὁ γνήσιός σοι περὶ τὰ ἐσπουδασμένα, ὡς γυνή τις προσέλευσιν ἐποιήσατο ἐπὶ τῆς σῆς γαληνότητος ἐπ' ἀπωλείᾳ παιδὸς αὐτῆς φαρμακευθέντος, καὶ ὡς κέκριται παρ' ὑμῶν φαρμακοὺς μὲν μηδαμοῦ εἶναι, ὄντας δὲ ἀναιρεῖσθαι, ἢ ἐκείνους μόνους περιποιεῖσθαι, οἷς ἡ μάχη πρὸς τὰ θηρία. Καὶ τοῦτο ὀρθῶς κριθὲν παρ' ὑμῶν ξένον μοι πέφηνε· παντὸς γὰρ γέλωτος ἀνάμεστον τυγχάνει πῶς τὰ μεγάλα ἄλγη τῶν τραυμάτων μικροῖς φαρμάκοις ἐπιχειρεῖς θεραπεύειν. Θεὸν γὰρ ἐνυβρίσας, χηρῶν καὶ ὀρφανῶν μάτην πρόνοιαν ποιῇ· τὸ μὲν γὰρ μανικὸν καὶ ἐπικίνδυνον, τὸ δὲ φιλοικτίρμονος καὶ συμπαθοῦς. Ἐπαχθὲς ἡμῖν λέγειν πρὸς βασιλέα,

---

A L

2 Ἑκάτεροι ed. : καθεκάτεροι A καθ' ἑκάτεροι L || δὲ om. L | ἁγίους A || **3** τότε om. L || **4** τοῦ² om. A || **6** ἐπ' ἀπληστίᾳ L : ἐμπληστίᾳ A || **9** τοσαῦτα ed. : τοσαῦτα ἡμῶν codd. || **12** βέλτιστα A : μέγιστα L || **13** βραχυτάτῳ L || **16** μοι δὲ transp. L || **22** παρ' ὑμῖν L || **23** πῶς A : ὡς L || **24** ἐπιχειρεῖς θεραπεύειν A : ἐπιχειρεῖν ἰατρεύειν L || **25** ὑβρίσας L || **26** μανικὸν A : νεανικὸν L

ἰδιώτας ὄντας. ἐπαχθέστερον δέ σοι φανήσεται τὸ λέγειν πρὸς Θεόν. Οὐδεὶς γὰρ μεσίτης Θεοῦ καὶ ἀνθρώπων φανήσεται.

206

Epistulam quae primum locum in editionibus obtinebat (ep. 1 Hertlein) falso litteris Iuliani praefixam esse et revera non imperatoris, sed Procopii Gazaei sophistae esse, et inter opera eius (ep. 62) recte servari vidit Hercher (*Hermes*, I, 1866, p. 474). Confusionem a librario quodam recentioribus temporibus factam esse eo probatur quod haec epistula in paucis tantum codicibus s. XIV-XV (BNOQ) ante ceteras Iuliani invenitur. Eam hic repetere supervacuum putavimus.

207

Secundum usum compilatorum, « qui solent eiusdem anni constitutionibus eandem inscriptionem praemittere » [Mommsen], Iuliano Augusto tribuuntur in codice Theodosiano leges quaedam, Iuliano IIII et Sallustio consulibus (scil. a. 363) per menses Octobrem, Novembrem et Decembrem promulgatae, « quo tempore sane Iovianus iam imperabat, utpote Iuliano mortuo mense Iunio, ut proinde Ioviano tribuendae eae sint », quemadmodum recte censuit Gothofredus (cf. Mommsen, *Cod. Theodos.*, I, 1, p. CCXXXVII). Sunt autem haecce:

Cod. Theodos., VIII, 1, 8; VIII, 5, 16; X, 19, 2; XI, 20, 1; XII, 1, 56; XIV, 4, 3.

A L

1 ἰδιώτας ὄντας om. L

APPENDIX

Galli Caesaris ad Iulianum fratrem epistula.

Spuriam esse hanc epistulam viri docti iamdudum arbitrati sunt. Ex aliquo opere historico Ariani cuiusdam scriptoris (cf. p. 288, 2 sq. : τοῦ πατρὸς ἡμῶν ... Ἀετίου et praeterea Philostorg., III, 27 et VII, 1[3]) eam depromptam esse suspicamur. — Primus eam edidit Vulcanius (cf. *Recherches*, p. 110 sq.), dein Petavius, qui has litteras e bibliotheca Vaticana sibi missas esse declaravit (cf. Heyler, p. 545 sq.). Eas reperimus in codice Vatican. Palat. 209, s. XIV, f. 218 (= cod.), cuius apographum, manu Nicolai Alamanni scriptum et passim emendatum, exstat in cod. Barberin. Gr. 132, f. 45ᵛ-47ʳ (= Barber.). Graece epistulam praebente cum versione Latina Alamanni (cf. Heyler, *ibid.*). Hos duos codices contulimus.

Γάλλος Καῖσαρ Ἰουλιανῷ ἀδελφῷ χαίρειν. 454 c

Ἡ γειτνίασις τῆς χώρας, λέγω δὴ τῆς Ἰωνίας, πλεῖστον ὅσον εἰς κέρδος ἡμᾶς ἤνεγκεν· ἀνιωμένους γὰρ ἡμᾶς καὶ δυσχεραίνοντας ἐπὶ ταῖς πρώταις φήμαις παρεμυθήσατο. Τί δέ ἐστιν ὃ λέγω, γνώσῃ· ἧκεν εἰς ἡμετέρας ἀκοὰς ἀποστῆναι μέν σε τῆς προτέρας θρησκείας, τῆς ἐκ προγόνων παραδοθείσης, ἐπὶ δὲ τὴν μάταιον δεισιδαιμονίαν ἐληλακέναι, οἴστρῳ τινὶ κακῷ συμβούλῳ εἰς τοῦτο ἐλαθέντα. Καὶ τί οὐκ ἔμελλον πάσχειν δυσχεραίνων ; Ὡς εἰ μέν τι d
τῶν ἐν σοὶ καλῶν διαβοώμενον γνοίην, κέρδος οἰκεῖον ἡγοῦμαι· εἰ δέ τι τῶν δυσχερῶν, ὅπερ οὐκ οἶμαι, ἐξίσης ζη-

---

17 δή cod. : δὲ Barber. || 18 εἰς ἡμᾶς κέρδος transp. Boissonade
22 δυσιδαιμονίαν cod., corr. Vulcanius

μίωμα <ἢ καὶ> μᾶλλον ἐμὸν νομίζω. Ἐπὶ τούτοις οὖν ἀνιώμενόν με ἡ παρουσία τοῦ πατρὸς ἡμῶν εὔφρανεν Ἀετίου, ἀπαγγέλλοντος μὲν ἐναντία, ἡμῖν δὲ εὐκτά· καὶ γὰρ σπουδάζειν σε ἔφησεν εἰς οἴκους εὐχῶν, καὶ μὴ πόρρω τῆς μνείας τῶν ἀθλητῶν ἀνδρῶν ἀποσπᾶσθαι, ὅλως δὲ ἔχεσθαι διεβεβαιοῦτο τῆς θεοσεβείας τῶν ἡμετέρων. Ἐγὼ
455 δ' ἔν σοι τοῦτ' ἂν εἴποιμι κατὰ τὸ Ὁμηρικὸν "βάλλ' οὕτως", καὶ ἐπὶ τοιαύταις μνείαις εὔφραινε τοὺς ἀγαπῶντας, μεμνημένος ὡς οὐκ ἔστι τι θεοσεβείας ἀνώτερον. Ἡ γὰρ εἰς ἄκρον ἀρετὴ παιδεύει τὸ μὲν ψεῦδος ὡς ἀπατηλὸν μισεῖν, τοῦ δὲ ἀληθοῦς ἔχεσθαι, ὅπερ μάλιστα ἐν τῇ περὶ τὸ θεῖον φαίνεται θρησκείᾳ. Ὄχλος γὰρ πάντως φιλόνεικον
b καὶ ἄστατον· τὸ δὲ μόνον οὐδενὶ ὑπουργὸν ὂν βασιλεύει τοῦ παντός, οὐκ ἐκ δασμοῦ καὶ κλήρου, καθάπερ οἱ Κρόνου παῖδες, ἀλλ' αὐτοαρχὴ ὄν, καὶ κρατοῦν τῶν ἁπάντων, οὐ διαδεξάμενον βίᾳ ἕτερον, ἀλλὰ πρὸ πάντων ὄν. Τοῦτο ὄντως Θεός, ᾧπερ σὺν τῷ ὀφειλομένῳ σεβάσματι προσκυνεῖν χρή. Ἔρρωσο.

---

7 sq. Homer. Θ 282.

---

1 < ἢ καὶ > Reiske ‖ 2/3 Ἀετίου εὔφρανεν transp. Barber. ‖ 4 ἔφησεν Vulcanius: ἔφη, σ supra η scripto, cod. ἔφη Barber. ‖ 6 τὸν ἡμέτερον cod., corr. Barber. ‖ 7 δ' ἔν σοι Vulcanius: δ' ἐν σοὶ cod. δέ σοι Barber. ‖ [κατὰ] Reiske ‖ τὸ Barber.: τὸν cod. ‖ 13 οὐδενὶ Heyler: σὺν ἑνὶ cod. ‖ 15 αὐτὸ ἀρχὴ Vulcanius ‖ 16 διαδεξάμενον scripsimus: δὲ δεξάμενον cod. ‖ 17 ὅπερ cod., correximus; ὅνπερ Barber.

INDEX FONTIUM

INDEX NOMINVM

Numeri crassiores indicant locos qui in genuinis Iuliani epistulis vel legibus reperiuntur. — Lineolis rectis || a ceteris separantur loci epistularum spuriarum vel dubiarum.

CONSPECTUS NUMERORUM

A. Epistularum.

HERTLEIN	HERCHER	HEYLER	NOSTRA ED.
—	—	—	—
1		1	206
2	1	2	31
3	2	3	96
4	3	4	78
5	4	5	85
6	5	6	112
7	6	7	83
8	7	8	188
9	8	9	107
10	9	10	60
11	10	11	54
12	11	12	32
13	12	13	28
14	13	14	97
15	14	15	190
16	15	16	191
17	16	17	14
18	17	18	193
19	18	19	194
20	19	20	41
21	20	21	81
22	21	22	152
23	22	23	33
24	23	24	180
25	24	25	204
25 b	63	64	75b

HERTLEIN	HERCHER	HEYLER	NOSTRA ED.
—	—	—	—
26	25	26	110
27	26	27	98
28	27	28	196
29	28	29	9
30	29	30	10
31	30	31	46
32	31	32	197
33	32	33	200
34	33	34	187
35	34	35	198
36	35	36	106
37	36	37	201
38	37	38	26
39	38	39	35
40	39	40	184
41	40	41	186
42	41	42	61 c
43	42	43	115
44	43	44	11
45	44	45	58
46	45	46	4
47	46	47	73
48	47	48	153
49	48	49	84 a
50	49	50	108
51	50	51	111
52	51	52	114
53	52	53	185
54	53	54	189
55	54	55	8
56	55	56	109
57	56	57	195
58	57	58	59
59	58	59	82
60	59	60	183
61	60	61	181
62	61	62	88
63	62	63	89 a
64	64	65	176

HERTLEIN	HERCHER	HEYLER	NOSTRA ED.
—	—	—	—
65	65	66	177
66	66	67	202
67	67	68	182
68	68	69	40
69	69	70	29
70	70	72	199
71	71	73	13
72	72	74	36
73	73	75	192
74	74	76	97
75	75	77	205
76	76	83	34
77			136b
78	78		79
79			90

PAPADOPOULOS	NOSTRA ED.
—	—
1*	80
2*	86
3*	30
4*	12
5*	19
6*	87

B. Fragmentorum.

FRAGMENTA	
—	
1 Hertlein.	= n° 30, p. 36, 17 ss.
2 —	= n° 155, p. 209.
3 —	= n° 30, p. 35, 27 ss.
4 —	= n° 25 b, p. 29.
5 —	= n° 20, p. 26.
6 —	= n° 161, p. 214, 19 ss.
7 —	= n° 25 a, p. 29, 11 ss.
8 —	= n° 61 d, p. 74, 2 ss.
9 —	= n° 61 d, p. 74, 9 ss.
10 —	= n° 165 a, p. 216, 12 s.

C. Paginarum ed. Spanheim.

288 a-c	—	p. 128	388 c-389 a	—	p. 99 s.
289 a-d	—	p. 128 s.	389 b-c	—	p. 207 s.
290 a-d	—	p. 129 s.	389 d-390 b	—	p. 40 s.
291 a-d	—	p. 130 s.	390 b-d	—	p. 229
292 a-d	—	p. 132 s.	391 a-d	—	p. 230 s.
293 a-d	—	p. 133 s.	392 a-d	—	p. 231 s.
294 a-d	—	p. 134 s.	393 a-d	—	p. 232 s.
295 a-d	—	p. 135	394 a-d	—	p. 233 ss.
296 a-d	—	p. 136 s.	395 a-d	—	p. 235 s.
297 a-d	—	p. 137 s.	396 a-c	—	p. 236 s.
298 a-d	—	p. 138 s.	396 d-398 a	—	p. 280 ss.
299 a-d	—	p. 139 s.	398 a-b	—	p. 89 s.
300 a-d	—	p. 140 s.	398 c-399 a	—	p. 168 s.
301 a-d	—	p. 141 s.	399 b-402 b	—	p. 155 ss.
302 a-d	—	p. 142 s.	402 c	—	p. 266
303 a-d	—	p. 143 s.	402 d-403 c	—	p. 11 s.
304 a-d	—	p. 144 s.	403 c-404 b	—	p. 12 s.
305 a-d	—	p. 145 s.	404 b-c	—	p. 52
			404 d	—	p. 266
373 d-374 b	—	p. 38	404 d-405 a	—	p. 274
374 b-d	—	p. 151 s.	405 b-407 b	—	p. 253 ss.
375 a-c	—	p. 91 s.	407 b-411 b	—	p. 267 ss.
375 d	—	p. 118	411 c-d	—	p. 164 s.
376 a-c	—	p. 173 s.	412 a-413 d	—	p. 274 s.
376 c-d	—	p. 112	414 a-415 d	—	p. 30 ss.
376 d-377 d	—	p. 256 s.	415 d-416 b	—	p. 42 s.
377 d-378 c	—	p. 165s.	416 b-420 a	—	p. 243 ss.
378 c-380 d	—	p. 66 ss.	420 b-421 d	—	p. 250 ss.
380 d-381 a	—	p. 60	422 a-424 b	—	p. 70 ss.
381 a-382 a	—	p. 39 s.	424 b-425 a	—	p. 179 s.
382 a-c	—	p. 34	425 b-d	—	p. 14
382 d	—	p. 154	426 a-c	—	p. 63
383 a-384 a	—	p. 259 ss.	426 d-428 b	—	p. 6 ss.
384 a-386 a	—	p. 17 ss.	428 c-429 a	—	p. 88
386 b-d	—	p. 262 s.	429 a-b	—	p. 208 s.
386 d-387 d	—	p. 264 s.	429 c-432 a	—	p. 113 ss
387 d-388 b	—	p. 47	432 b-c	—	p. 166 s.

CAPITULORUM TABULA

26-39. Circa hiemem a. 361-362 ad amicos suos scribit vel eos ad se vocat Iulianus.

57-60. De rebus Alexandriae hieme a. 361-362 gestis.

62-77. Leges iussa decreta varia ante finem mensis iunii a. 362 promulgata.

78-81. Epistulae circa menses iun.-iul. a. 362 scriptae dum Iulianus per Asiam Minorem iter faciebat.

82-98. Epistulae scriptae postquam Iulianus Antiochiam hiematurus advenit.

99-105. De rebus Antiochenis.

106-112. De rebus Alexandrinis.

113-145. Leges iussa decreta varia postquam Iulianus Antiochiam advenit promulgata.

III. POEMATIA ET APOPHTHEGMATA IULIANO ATTRIBUTA.

A. Poematia.

B. Apophthegmata.

IV. EPISTULAE SPURIAE VEL DUBIAE.

Epistulae sophistae saec. IV ineuntis.

Epistulae dubiae.

EPISTULAE SPURIAE VARIAE.

APPENDIX.

5. **Callimaque.** — *Hymnes, Épigrammes et Fragments choisis.* — Texte établi et traduit par M. E. Cahen, Maître de conférences à la Faculté des Lettres d'Aix-Marseille. . . . . . 13 fr. 27 fr.

Le texte seul. 7 50 16

La traduction seule. 6 50 14

6. **Sophocle. — Tome I** (Ajax. — Antigone. — Œdipe-Roi. — Électre). — Texte établi et traduit par M. Masqueray, Professeur à la Faculté des Lettres de Bordeaux. 18 36

Le texte seul. 10 20

La traduction seule. 9 18

Le texte de chacune de ces tragédies. 2 75

AUTEURS LATINS

1. **Lucrèce.** — *De la Nature.* — **Tome I** (Livres I, II, III). Texte établi et traduit par M. Ernout, Professeur à la Faculté des Lettres de Lille. . 10 fr. 22 fr.

2. **Lucrèce. — Tome II** (Livres IV, V, VI), texte et traduction.. . . . . 10 22

Le texte seul (Livres I-VI). 12 25

La traduction seule (Livres I-VI). 10 22

3. **Perse.** — *Satires.* — Texte établi et traduit par M. Cartault, Professeur à la Faculté des Lettres de Paris. 5 12

Le texte seul, avec un index. 7 15

La traduction seule. 3 7

4. **Cicéron.** — *Discours.* — **Tome I** (Pour Quinctius. Pour S. Roscius d'Améric. Pour Q. Roscius le Comédien). Texte établi et traduit par M. de la Ville de Mirmont, Professeur à la Faculté des Lettres de Bordeaux. 12 25

Le texte seul. 7 15

La traduction seule. 6 13

5. **Juvénal.** — *Satires.* — Texte établi et traduit par M. de Labriolle, Professeur à la Faculté des Lettres de Poitiers, et M. Villeneuve, Professeur à la Faculté des Lettres d'Aix. . . 16 33

Le texte seul. 9 19

La traduction seule. 8 17

6. **Sénèque.** — *De la Clémence.* — Texte établi et traduit par M. Préchac, Professeur au lycée de Versailles. 12 25

Le texte seul. 7 15

La traduction seule. 6 13

7. **Tacite.** — *Histoires.* — Texte établi et traduit par M. Goelzer, Professeur à la Faculté des Lettres de Paris. **Tome I** (Livres I, II, III). 16 33

8. **Tacite. — Tome II** (Livres IV et V). . . . 10 22

Le texte seul (Livres I-V). 14 29

La traduction seule (Livres I-V). 13 27

9. **Cicéron.** — *L'Orateur.* — Texte établi et traduit par M. H. Bornecque, Professeur à la Faculté des Lettres de Lille.. . . . . 11 fr. 23 fr.

Le texte seul.	6 50	14
La traduction seule.	5 50	12

2e COLLECTION D'ÉTUDES ANCIENNES

Histoire de la littérature latine chrétienne, par M. Pierre de Labriolle, Professeur à la Faculté des Lettres de Poitiers. . 20 fr.

Le premier ouvrage français où est étudiée pour elle-même l'Histoire littéraire de l'Occident chrétien jusqu'au seuil du Moyen Agè.

Règles pour éditions critiques, par M. Louis Havet, Membre de l'Institut, Professeur au Collège de France.. . . . . 2 50

EN PRÉPARATION

Pindare. — *Olympiques et Pythiques,* par M. A. Puech.

Isée. — *Discours,* par M. P. Roussel.

Aristote. — *Constitution d'Athènes,* par MM. B. Haussoullier et G. Mathieu.

Homère. — *L'Odyssée,* par M. V. Bérard.

Aristophane. — *Comédies,* I, par MM. V. Coulon et H. Van Daele.

Sénèque. — *De la Colère,* par M. Bourgery.

Cicéron. — *Discours,* II, par M. de la Ville de Mirmont.

Catulle. — *Œuvres,* par M. G. Lafaye.

Tacite. — *Opera Minora,* par MM. Goelzer, Bornecque et Rabaud.

Pétrone. — *Œuvres,* par M. Ernout.

Platon. — **Tome III** (Protagoras. — Gorgias. — Ménon), par M. A. Croiset.

Tous ces volumes se vendent également reliés toile souple, fers spéciaux avec une augmentation de 5 francs.

Imprimé sur vélin teinté des Papeteries Prioux
par l'Imprimerie Durand à Chartres.